Collections

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS VIII

EXEMPLAR ITERATVM

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI.

MCMI.

Ne hac iteratione priora exemplaria abolerentur, praeter minutias quasdam pauca novavimus. sunt haece: IV 1 *ὁ μέγας Ὠρομάσδης* pro *Μεσορομάσδης*, 9 *ἐξανθεῖ* pro *ἐξωθεῖ*, V 7 *οὐ* pro *οὗ*, VI 10 *βαδίζοντα* pro *βαδίζονται*, VII 3 *προῆγον* pro *προσεῖχον*, VII 5 *φιλοπόνως; ἵνα — ἢ ἵν' ἀμνηστίαν v. ἀρετῇ — εὐπραγίᾳ*; pro *φιλοπόνως, ἵνα — ἵν' ἀμνηστίᾳ v. ἀρετὴν — εὐπραγίᾳ.*, 8 *ἀνθρώπῳ* pro *ἀνθρώπων*, VIII 5 *ἀρχὴν παραγγέλλων* pro *ἀρχήν τινα τελῶν*, IX 3 post *μερίδος* add. *ἦν*, XIII 4 *ἐπωπᾷ* pro *ἐποπτᾷ* et *Μητίοχος δὲ πάντ' ἀκεῖται* pro *Μητιόχῳ δὲ πάντα κεῖται*, XIII 10 *αὐτὸς* pro *αὐτὸν*, XIII 11 *παριέναι* pro *παρεῖναι*, XIII 12 *Νάβιδος* pro *Ἄγιδος*, XIV 6 *Φεῦ* pro *Εὖ*, XVI 2 *αὐτοῖς* pro *αὐτῷ*, XVII 6 *ὀνειδίζων* pro *ὀνειδίζειν*, XVII 10 *συνάγοντας* pro *κυβεύοντας*, XVIII 3 *Ἰάδμων* pro *Ἴδμων*.

LIPSIAE: TYPIS B. G. TEVBNERI

I. Adversus Aristodemum deorum neglegentem Socrates docet deos consulere hominibus.

(Xenoph. memor. I 4, 11—19. cf. fasc. II p. 41.)

Quae insunt in paragr. 8, sunt Xenophontis vel potius eius, qui totum colloquium a Socratica doctrina alienum scripsit.

‘Εὖ ἴσθι’, ἔφη Ἀριστόδημος, ‘ὅτι, εἰ νομίζοιμι θεοὺς 1
ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν.’
‘Ἔπειτ’ οὐκ οἴει φροντίζειν;’ ἀπεκρίνατο Σωκράτης,
‘οἳ πρῶτον μὲν μόνον τῶν ζῴων ἄνθρωπον ὀρθὸν
ἀνέστησαν· ἡ δ’ ὀρθότης καὶ προορᾶν πλέον ποιεῖ δύ-
νασθαι καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι καὶ ἧττον
κακοπαθεῖν· ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας
ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ
δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαι-
μονέστεροι ἐκείνων ἐσμέν, ἐξεργάζονται. καὶ μὴν γλῶτ- 2
τάν γε πάντων τῶν ζῴων ἐχόντων μόνην τὴν τῶν ἀν-
θρώπων ἐποίησαν οἵαν ἄλλοτ’ ἀλλαχῇ ψαύουσαν τοῦ
στόματος ἀρθροῦν τε τὴν φωνὴν καὶ σημαίνειν πάντ’
ἀλλήλοις, ἃ βουλόμεθα. οὐ τοίνυν μόνον ἤρκεσε τῷ
θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ’, ὅπερ μέγιστόν
ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε.
τίνος γὰρ ἄλλου ζῴου ψυχὴ πρῶτα μὲν θεῶν τῶν τὰ
μέγιστα καὶ κάλλιστα συνταξάντων ᾔσθηται, ὅτι εἰσί;
τί δὲ φῦλον ἄλλο ἢ ἄνθρωποι θεοὺς θεραπεύουσι; 3
ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάτ-

τεσθαι ἢ λιμὸν ἢ δίψος ἢ ψύχη ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι ἢ ῥώμην ἀσκῆσαι ἢ ὅσα ἂν ἀκούσῃ ἢ ἴδῃ ἢ μάθῃ διαμεμνῆσθαι; οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τἆλλα ζῷα ὥσπερ θεοὶ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην ἐδύνατ' ἂν πράττειν, ἃ ἐβούλετο, οὐθ' ὅσα χεῖρας ἔχει,
4 *ἄφρονα δ' ἐστί, πλέον οὐδὲν ἔχει. σὺ δ' ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς οὐκ οἴει σου θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τί ποιήσωσι, νομιεῖς αὐτούς σου φροντίζειν;' 'Ὅταν πέμπωσιν, ὥσπερ σοὶ σὺ φῄς πέμπειν αὐτούς, συμβούλους ὅ τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν.' 'Ὅταν δ' Ἀθηναίοις', ἔφη ὁ Σωκράτης, 'πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται;*
5 *οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν, καὶ τοὺς ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται; ὠγαθέ', ἔφη, 'κατάμαθε, ὅτι καὶ ὁ σοὶ νοῦς ἐνὼν τὸ σὸν σῶμα, ὅπως*
6 *βούλεται, μεταχειρίζεται. οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι, καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰ-*

γύπτῳ καὶ τῶν ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι. ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων 7
γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους, οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς θεραπεύων, εἴ τί σοι ἐθελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις συμβουλεύειν, γνώσει τὸ θεῖον ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι.' ἐμοὶ μὲν οὖν ταῦτα λέγων 8
τοὺς συνόντας ἐδόκει ποιεῖν οὐ μόνον, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

II. Prodici sophistae de Hercule pubescente fabula.

(Xenoph. memor. II 1, 20—33. cfr. fasc. II p. 41.)

Αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ 1
οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν, αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασιν οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος·

'Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηιδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.'

μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

'Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.'
2 καὶ Πρόδικος δ' ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ
Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύ-
τως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα
ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων
εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνό-
μενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται
ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυ-
χίαν καθῆσθαι ἀποροῦντα, ποτέραν τῶν ὁδῶν τράπηται·
3 καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας,
τὴν μὲν ἑτέραν εὐπρεπῆ τ' ἰδεῖν καὶ ἐλευθέριον φύσει,
κεκοσμημένην τὸ μὲν χρῶμα καθαρειότητι, τὰ δ' ὄμματα
αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν
δ' ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ
ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε
λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος φαίνεσθαι,
τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι,
τὰ δὲ ὄμματ' ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δ' ἐξ ἧς ἂν
4 μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ
ἑαυτήν, ἐπισκοπεῖν δὲ καί, εἴ τις ἄλλος αὐτὴν θεᾶται,
πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς
δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν
πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δ'
ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ
καὶ εἰπεῖν· "Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν
ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιησά-
μενος ἕπῃ, τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε,
καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει, τῶν δὲ
5 χαλεπῶν ἄπειρος διαβιώσει. πρῶτον μὲν γὰρ οὐ πολέ-
μων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος
διατελέσεις, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις,

ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας τερφθείης ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος, τίσι δ' ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης καὶ πῶς ἂν μαλακώτατα καθεύδοις καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σ' ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ', οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσει, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. παντα- 6
χόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω.' καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· 'Ὦ γύναι', ἔφη, 'ὄνομα δέ σοι τί ἐστιν;' ἡ δέ· 'Οἱ μὲν ἐμοὶ φίλοι', ἔφη, 'καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὀνομάζουσι Κακίαν.' καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· 'Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ 7
πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατεον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκη-

μάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπι-
μελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει
δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς
χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν
ἐπισταμένων μαθητέον καί, ὅπως αὐταῖς δεῖ χρῆσθαι,
8 ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι,
τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον
σὺν πόνοις καὶ ἱδρῶτι.' καὶ ἡ Κακία ὑπολαβοῦσα
εἶπεν, ὥς φησι Πρόδικος· 'Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς
χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή
σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν
ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.' καὶ ἡ Ἀρετὴ εἶπεν·
'Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα
9 μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν
τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι
πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν
δὲ διψῆν πίνουσα, καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιεῖς
πάντα μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυ-
τελεῖς παρασκευάζει καὶ τοῦ θέρους χιόνα περιθέουσα
ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς
στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις
παρασκευάζει· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μη-
10 δὲν ἔχειν, ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς· οὕτω γὰρ παι-
δεύεις τοὺς σεαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα,
τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα. ἀθά-
νατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀν-
θρώπων ἀγαθῶν ἀτιμάζει· τοῦ δὲ πάντων ἡδίστου
ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ καὶ τοῦ πάν-
των ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε
11 σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ
τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ

τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι;
οἳ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρε-
σβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως
μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ
αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμέ-
νοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι,
τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ
χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι 12
μὲν θεοῖς, σύνειμι δ' ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον
δὲ καλὸν οὐδὲν οὔτε θεῖον οὔτ' ἀνθρώπειον χωρὶς
ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ
θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκω, ἀγαπητὴ μὲν
συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις,
εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια
τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμ-
μαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς 13
μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ
ποτῶν ἀπόλαυσις· ἀνέχονται γάρ, ἕως ἂν ἐπιθυμήσωσιν
αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς
ἀμόχθοις, καὶ οὔτ' ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε
διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν
νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ
γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως
μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρού-
σας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες,
ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ 14
τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται,
ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλ-
λουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις,
ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν
κεκτῆσθαι.'

III. Protagorae fabula de pudore et iustitia pariter dispertitis.

(Platon. Protag. p. 320 D—322 D. cf. fasc. II p. 3.)

1 Ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ
γένη οὐκ ἦν. ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱ-
μαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον ἐκ
γῆς καὶ πυρὸς μίξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῇ
κεράννυται. ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον,
προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ
νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει. Προμηθέα δὲ
παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι· 'Νείμαντος δ'
2 ἐμοῦ', ἔφη, 'ἐπίσκεψαι·' καὶ οὕτω πείσας νέμει. νέμων
δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε, τὰ δ' ἀσθε-
νέστερα τάχει ἐκόσμει· τὰ δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον
διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν
εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχε,
πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε
μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζε· καὶ τἆλλα οὕτως
3 ἐπανισῶν ἔνεμε. ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων
μή τι γένος ἀιστωθείη· ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθο-
ριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐ-
μάρειαν ἐμηχανᾶτο ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ
καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα,
δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως
ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτο-
φυὴς ἑκάστῳ· καὶ ὑποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ ὄνυξι
4 καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς
ἄλλοις ἄλλας ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλ-
λοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς
ἔδωκεν εἶναι τροφὴν ζῴων ἄλλων βοράν· καὶ τοῖς μὲν

ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπι- 5
σκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προ- 6
μηθεύς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί — ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι — καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί· τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν· πρὸς δὲ καὶ 7
αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν· εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας 8
μετέσχε μοίρας, πρῶτον μὲν ζῴων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο. οὕτω δὴ παρεσκευα- 9

σμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ

10 τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. ἐζήτουν δὴ ἀθροίζεσθαι καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα οὖν

11 τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· 'Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω;' ''Επὶ πάντας', ἔφη ὁ Ζεύς, 'καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως.'

IV. Principem virum maxime lege ac religione obstrictum teneri.

(Plutarch. ad princip. inerud. c. 3. 4. 6. cf. fasc. IV p. 22.)

1 Τίς οὖν ἄρξει τοῦ ἄρχοντος; ὁ νόμος, ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων, ὡς ἔφη Πίνδαρος, οὐκ ἐν βιβλίοις ἔξω γεγραμμένος οὐδέ τισι ξύλοις, ἀλλ' ἔμψυχος ὢν ἐν αὐτῷ λόγος, ἀεὶ συνοικῶν καὶ παρα-

φυλάττων καὶ μηδέποτε τὴν ψυχὴν ἐῶν ἔρημον ἡγε-
μονίας. ὁ μὲν γὰρ Περσῶν βασιλεὺς ἕνα τῶν κατευνα-
στῶν εἶχε πρὸς τοῦτο τεταγμένον, ὥστε ἕωθεν εἰσιόντα
λέγειν πρὸς αὐτόν· ''Ἀνάστα, ὦ βασιλεῦ, καὶ φρόντιζε
πραγμάτων, ὧν σε φροντίζειν ὁ μέγας Ὡρομάσδης ἠθέ-
λησε·' τοῦ δὲ πεπαιδευμένου καὶ σωφρονοῦντος ἄρ-
χοντος ἐντός ἐστιν ὁ τοῦτο φθεγγόμενος ἀεὶ καὶ παρα-
κελευσόμενος. Πολέμων γὰρ ἔλεγε τὸν Ἔρωτα εἶναι 2
θεῶν ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν· ἀληθέστερον δ'
ἄν τις εἴποι τοὺς ἄρχοντας ὑπηρετεῖν θεῷ πρὸς ἀν-
θρώπων ἐπιμέλειαν καὶ σωτηρίαν, ὅπως ὧν θεὸς δί-
δωσιν ἀνθρώποις καλῶν καὶ ἀγαθῶν τὰ μὲν νέμωσι,
τὰ δὲ φυλάττωσιν.

''Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;'

ὁ μὲν καθίησιν ἀρχὰς σπερμάτων προσηκόντων, γῆ δ'
ἀναδίδωσιν· αὔξεται δὲ τὰ μὲν ὄμβροις, τὰ δ' ἀνέμοις,
τὰ δ' ἄστροις ἐπιθαλπόμενα καὶ σελήνῃ· κοσμεῖ δὲ
ἥλιος ἅπαντα καὶ πᾶσι τοῦτο δὴ τὸ παρ' αὐτοῦ φίλ-
τρον ἐγκεράννυσιν. ἀλλὰ τῶν τοσούτων καὶ τηλικού- 3
των, ἃ θεοὶ χαρίζονται, δώρων καὶ ἀγαθῶν οὐκ ἔστιν
ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθὴ δίχα νόμου καὶ δίκης καὶ
ἄρχοντος. δίκη μὲν οὖν νόμου τέλος ἐστίν· νόμος δὲ
ἄρχοντος ἔργον· ἄρχων δὲ εἰκὼν θεοῦ τοῦ πάντα
κοσμοῦντος· οὐ Φειδίου δεόμενος πλάττοντος οὐδὲ
Πολυκλείτου καὶ Μύρωνος, ἀλλ' αὐτὸς αὑτὸν εἰς ὁμοιό-
τητα θεῷ δι' ἀρετῆς καθιστὰς καὶ δημιουργῶν ἀγαλ-
μάτων τὸ ἥδιστον ὀφθῆναι καὶ θεοπρεπέστατον. οἷον 4
δὲ ἥλιον ἐν οὐρανῷ περικαλλὲς εἴδωλον ἑαυτοῦ καὶ
σελήνην ὁ θεὸς ἐνίδρυσε, τοιοῦτον ἐν πόλεσι μίμημα
καὶ φέγγος ἄρχων,

— 'ὅστε θεουδὴς
εὐδικίας ἀνέχησι·'

τουτέστι θεοῦ λόγον ἔχων διάνοιαν, οὐ σκῆπτρον οὐδὲ κεραυνὸν οὐδὲ τρίαιναν, ὡς ἔνιοι πλάττουσιν ἑαυτοὺς καὶ γράφουσι τῷ ἀνεφίκτῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνόητον· νεμεσᾷ γὰρ ὁ θεὸς τοῖς ἀπομιμουμένοις βροντὰς καὶ κεραυνοὺς καὶ ἀκτινοβολίας· τοὺς δὲ τὴν ἀρετὴν ζηλοῦντας αὐτοῦ καὶ πρὸς τὸ καλὸν καὶ φιλάνθρωπον ἀφομοιοῦντας ἑαυτοὺς ἡδόμενος αὔξει καὶ μεταδίδωσι τῆς περὶ αὐτὸν εὐνομίας καὶ δίκης καὶ ἀληθείας καὶ πρᾳότητος· ὧν θειότερον οὐ πῦρ ἐστιν, οὐ φῶς, οὐχ ἡλίου δρόμος, οὐκ ἀνατολαὶ καὶ δύσεις ἄστρων, οὐ τὸ ἀΐδιον καὶ ἀθάνατον. οὐ γὰρ χρόνῳ ζωῆς ὁ θεὸς εὐδαίμων, ἀλλὰ τῆς ἀρετῆς τῷ ἄρχοντι· τοῦτο γὰρ θεῖόν ἐστι, καλὸν δ' αὐτῆς καὶ τὸ ἀρχόμενον.

5 Ἀνάξαρχος μὲν οὖν ἐπὶ τῷ Κλείτου φόνῳ δεινοπαθοῦντα παραμυθούμενος Ἀλέξανδρον ἔφη καὶ τῷ Διὶ τὴν Δίκην εἶναι καὶ τὴν Θέμιν παρέδρους, ἵνα πᾶν πραττόμενον ὑπὸ βασιλέως θεμιτὸν δοκῇ καὶ δίκαιον· οὐκ ὀρθῶς οὐδ' ὠφελίμως τὴν ἐφ' οἷς ἥμαρτε μετάνοιαν αὐτοῦ τῷ πρὸς τὰ ὅμοια θαρρύνειν ἰώμενος. εἰ δὲ δεῖ ταῦτα εἰκάζειν, ὁ μὲν Ζεὺς οὐκ ἔχει τὴν Δίκην πάρεδρον, ἀλλ' αὐτὸς Δίκη καὶ Θέμις ἐστὶ καὶ νόμων ὁ πρεσβύτατος καὶ τελειότατος. οἱ παλαιοὶ οὕτω λέγουσι καὶ γράφουσι καὶ διδάσκουσιν ὡς ἄνευ δίκης ἄρχειν μηδὲ τοῦ Διὸς καλῶς δυναμένου· ἡ δέ γε παρθένος ἐστί; καθ' Ἡσίοδον, ἀδιάφθορος, αἰδοῦς καὶ σωφροσύνης καὶ ἀφελείας σύνοικος· ὅθεν αἰδοίους προσαγορεύουσι τοὺς βασιλεῖς· μάλιστα γὰρ αἰδεῖσθαι

6 προσήκει τοῖς ἥκιστα φοβουμένοις. φοβεῖσθαι δὲ δεῖ τὸν ἄρχοντα τοῦ παθεῖν κακῶς μᾶλλον τὸ ποιῆσαι·

τοῦτο γὰρ αἴτιόν ἐστιν ἐκείνου, καὶ οὗτός ἐστιν ὁ φόβος τοῦ ἄρχοντος φιλάνθρωπος καὶ οὐκ ἀγεννής, ὑπὲρ τῶν ἀρχομένων δεδιέναι, μὴ λάθωσι βλαβέντες,

Ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ
θηρὸς ἀκούσαντες κρατερόφρονος',

οὐχ ὑπὲρ αὐτῶν, ἀλλ' ὑπὲρ τῶν φυλαττομένων. ὁ δ' 7
Ἐπαμεινώνδας εἰς ἑορτήν τινα καὶ πότον ἀνειμένως τῶν Θηβαίων ῥυέντων μόνος ἐφώδευε τὰ ὅπλα καὶ τὰ τείχη νήφειν λέγων καὶ ἀγρυπνεῖν, ὅπως ἐξῇ τοῖς ἄλλοις μεθύειν καὶ καθεύδειν. καὶ Κάτων ἐν Ἰτύκῃ τοὺς ἄλλους ἅπαντας ἀπὸ τῆς ἥττης ἐκήρυττε πέμπειν ἐπὶ θάλατταν· καὶ ἐμβιβάσας, εὔπλοιαν εὐξάμενος ὑπὲρ αὐτῶν, εἰς οἶκον ἐπανελθὼν ἑαυτὸν ἀπέσφαξε, διδάξας, ὑπὲρ τίνων δεῖ τὸν ἄρχοντα τῷ φόβῳ χρῆσθαι καὶ τίνων δεῖ τὸν ἄρχοντα καταφρονεῖν. Κλέαρχος δέ, ὁ 8
Ποντικὸς τύραννος, εἰς κιβωτὸν ἐνδυόμενος, ὥσπερ ὄφις, ἐκάθευδε. καὶ Ἀρίστιππος ὁ Ἀργεῖος εἰς ὑπερῷον οἴκημα θύραν εἶχεν ἐπιρρακτήν, ἧς ἐπάνω τιθεὶς τὸ κλινίδιον ἐκάθευδε μετὰ τῆς ἑταίρας· ἡ δὲ μήτηρ ἐκείνης ὑφεῖλκε κάτωθεν τὸ κλιμάκιον, εἶτα ἡμέρας πάλιν προσετίθει φέρουσα. πῶς οὗτος, οἴεσθε, τὸ θέατρον ἐπεφρίκει καὶ τὸ ἀρχεῖον, τὸ βουλευτήριον, τὸ συμπόσιον, ὁ τὸν θάλαμον ἑαυτῷ δεσμωτήριον πεποιηκώς; τῷ γὰρ ὄντι δεδίασιν οἱ β α σ ι λ ε ῖ ς *ὑπὲρ τῶν ἀρχομένων, οἱ δὲ* τ ύ ρ α ν ν ο ι *τοὺς ἀρχομένους· διὸ τῇ δυνάμει τὸ δέος συναύξουσι· πλειόνων γὰρ ἄρχοντες πλείονας φοβοῦνται.*

Ἐν μὲν γὰρ τοῖς ἀσθενέσι καὶ τοῖς ταπεινοῖς καὶ 9
ἰδιώταις τῷ ἀδυνάτῳ μιγνύμενον τὸ ἀνόητον εἰς τὸ ἀναμάρτητον τελευτᾷ, ὥσπερ ὀνείρασι φαύλοις τις ἄνοια τὴν ψυχὴν διαταράττει συνεξαναστῆναι ταῖς ἐπιθυμίαις μὴ δυναμένην· ἡ δ' ἐξουσία παραλαβοῦσα τὴν κακίαν

νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ τοῦ Διονυσίου ἀληθές ἐστιν· ἔφη γὰρ ἀπολαύειν μάλιστα τῆς ἀρχῆς, ὅταν ταχέως ἃ βούλεται ποιῇ. μέγας οὖν ὁ κίνδυνος, βούλεσθαι ἃ μὴ δεῖ τὸν ἃ βούλεται ποιεῖν δυνάμενον.

'Αὐτίκ' ἔπειτά γε μῦθος ἔην, τετέλεστο δὲ ἔργον.'

ὀξὺν ἡ κακία διὰ τῆς ἐξουσίας δρόμον ἔχουσα πᾶν πάθος ἐξανθεῖ, ποιοῦσα τὴν ὀργὴν φόνον, τὸν ἔρωτα μοιχείαν, τὴν πλεονεξίαν δήμευσιν.

'Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην',

καὶ ἀπόλωλεν ὁ προσκρούσας· ὑπόνοια, καὶ τέθνηκεν ὁ διαβληθείς. ἀλλ' ὥσπερ οἱ φυσικοὶ λέγουσι τὴν ἀστραπὴν τῆς βροντῆς ὑστέραν μὲν ἐκπίπτειν, ὡς αἷμα τραύματος, προτέραν δὲ φαίνεσθαι τὸν μὲν ψόφον ἐκδεχομένης τῆς ἀκοῆς, τῷ δὲ φωτὶ τῆς ὄψεως ἀπαντώσης· οὕτως ἐν ταῖς ἀρχαῖς φθάνουσιν αἱ κολάσεις τὰς κατηγορίας, καὶ προεκπίπτουσιν αἱ καταδίκαι τῶν ἀποδείξεων.

''Ἐκεῖ γὰρ ἤδη θυμὸς οὐκ ἔτ' ἀντέχει,
θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλον',

ἂν μὴ βάρος ἔχων ὁ λογισμὸς ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν, μιμουμένου τὸν ἥλιον τοῦ ἄρχοντος, ὃς ὅταν ὕψωμα λάβῃ μέγιστον, ἐξαρθεὶς ἐν τοῖς βορείοις ἐλάχιστα κινεῖται, τῷ σχολαιοτέρῳ τὸν δρόμον εἰς ἀσφαλὲς καθιστάμενος.

V. Fratrum inter se amorem a natura esse constitutum.

(Plutarch. de fraterno amore c. 1—3. cf. fasc. IV p. 22.)

1 Ἀρίσταρχος μέν, ὁ Θεοδέκτου πατήρ, ἐπισκώπτων τὸ πλῆθος τῶν σοφιστῶν ἔλεγε πάλαι μὲν ἑπτὰ σοφιστὰς μόλις γενέσθαι, τότε δὲ μὴ ῥᾳδίως ἂν ἰδιώτας

τοσούτους εὑρεθῆναι. ἐγὼ δὲ ὁρῶ καθ' ἡμᾶς τὴν φι- 2
λαδελφίαν οὕτω σπάνιον οὖσαν, ὡς τὴν μισαδελφίαν
ἐπὶ τῶν παλαιῶν, ἧς γε τὰ φανέντα παραδείγματα τρα-
γῳδίαις καὶ θεάτροις ὁ βίος ἐξέδωκε διὰ τὸ παράδοξον·
οἱ δὲ νῦν ἄνθρωποι πάντες ὅταν ἐντυγχάνωσι χρηστοῖς
ἀδελφοῖς, θαυμάζουσιν οὐδὲν ἧττον ἢ τοὺς Μολιονίδας
ἐκείνους, συμφυεῖς τοῖς σώμασι γεγονέναι δοκοῦντας·
καὶ τὸ χρῆσθαι κοινῶς τοῖς πατρῴοις χρήμασι καὶ φί-
λοις καὶ δούλοις οὕτως ἄπιστον ἡγοῦνται καὶ τερατῶ-
δες, ὡς τὸ χρῆσθαι μίαν ψυχὴν δυοῖν σωμάτων χερσὶ
καὶ ποσὶ καὶ ὀφθαλμοῖς.

Καίτοι τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν 3
ἡ φύσις οὐ μακρὰν ἔθηκεν, ἀλλ' ἐν αὐτῷ τῷ σώματι
τὰ πλεῖστα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δί-
δυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας,
ἐδίδαξεν, ὅτι ταῦτα πάντα σωτηρίας ἕνεκα καὶ συμ-
πράξεως κοινῆς, οὐ διαφορᾶς καὶ μάχης, οὕτω διέστη-
σεν· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ ἀνίσους
δακτύλους σχίσασα πάντων ὀργάνων ἐμμελέστατα καὶ
τεχνικώτατα παρέσχεν, ὥστε Ἀναξαγόραν τὸν παλαιὸν
ἐν ταῖς χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης
σοφίας καὶ συνέσεως. ἀλλὰ τούτου μὲν ἔοικεν ἀληθὲς
εἶναι τοὐναντίον. οὐ γὰρ ὅτι χεῖρας ἔσχεν ἄνθρωπος,
σοφώτατον· ἀλλ' ὅτι φύσει λογικὸν ἦν καὶ τεχνικόν,
ὀργάνων φύσει τοιούτων ἔτυχεν. ἐκεῖνο δὲ παντὶ δῆ- 4
λον, ὡς ἀπὸ σπέρματος ἑνὸς καὶ μιᾶς ἀρχῆς ἡ φύσις
ἀδελφοὺς δύο καὶ τρεῖς καὶ πλείονας ἐποίησεν, οὐ πρὸς
διαφορὰν καὶ ἀντίταξιν, ἀλλ' ὅπως χωρὶς ὄντες ἀλλή-
λοις μᾶλλον συνεργῶσιν. οἱ γὰρ δὴ τρισώματοι καὶ
ἑκατόγχειρες, εἴπερ ἐγένοντο, συμφυεῖς ὄντες πᾶσι τοῖς
μέρεσιν οὐδὲν ἐκτὸς αὐτῶν οὐδὲ χωρὶς ἐδύναντο ποιεῖν·

ὃ τοῖς ἀδελφοῖς ὑπάρχει, καὶ μένειν καὶ ἀποδημεῖν
ἅμα, καὶ πολιτεύεσθαι καὶ γεωργεῖν δυναμένοις δι'
ἀλλήλων, ἄνπερ ἣν ἡ φύσις ἔδωκεν εὐνοίας καὶ συμ-
φωνίας ἀρχὴν φυλάττωσιν. εἰ δὲ μή, ποδῶν οὐδέν,
οἶμαι, διοίσουσιν ἀλλήλους ὑποσκελιζόντων καὶ δακτύ-
λων ἐμπλεκομένων καὶ διαστρεφομένων παρὰ φύσιν
5 ὑπ' ἀλλήλων. μᾶλλον δέ, ὥσπερ ἐν ταὐτῷ σώματι
μιᾶς κοινωνοῦντα φύσεως καὶ τροφῆς τὰ ὑγρὰ καὶ ξηρὰ
καὶ ψυχρὰ καὶ θερμὰ τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ τὴν
ἀρίστην καὶ ἡδίστην κρᾶσιν ἐμποιεῖ καὶ ἁρμονίαν, ἧς
χωρὶς 'οὔτε πλούτου' φασὶν 'οὔτε τᾶς ἰσοδαίμονος ἀν-
θρώποις βασιληίδος ἀρχᾶς' εἶναί τινα χάριν καὶ ὄνησιν·
ἂν δὲ πλεονεξία καὶ στάσις αὐτοῖς ἐγγένηται, διέφθειρεν
αἴσχιστα καὶ συνέχεε τὸ ζῷον· οὕτως ἀδελφῶν ὁμοφρο-
σύνῃ καὶ γένος καὶ οἶκος ὑγιαίνει καὶ τέθηλε, καὶ φί-
λοι καὶ συνήθεις, ὥσπερ ἐμμελὴς χορός, οὐδὲν οὔτε
πράσσουσιν ἐναντίον οὔτε λέγουσιν οὔτε φρονοῦσιν.

6 'Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς·'
οἰκέτης διάβολος, ἢ κόλαξ παρενδὺς θυραῖος, ἢ πολί-
της βάσκανος. ὡς γὰρ αἱ νόσοι τοῖς σώμασι μὴ προσ-
ιεμένοις τὸ οἰκεῖον πολλῶν ἐμποιοῦσιν ἀτόπων καὶ
βλαβερῶν ὀρέξεις· οὕτως ἡ πρὸς τὸ συγγενὲς διαβολὴ
καὶ ὑφόρασις ὁμιλίας ἐπάγεται φαύλας καὶ πονηρὰς εἰς
τὸ ἐλλιπὲς ἔξωθεν ἐπιρρεούσας.

7 Ὅθεν ὁ Μένανδρος ὀρθῶς

'Οὐκ ἐκ πότων καὶ τῆς καθ' ἡμέραν τρυφῆς
ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου, (φησί)
πάτερ· οὐ περιττὸν οἶετ' ἐξευρηκέναι
ἀγαθὸν ἕκαστος, ἂν ἔχῃ φίλου σκιάν;'

σκιαὶ γάρ εἰσιν ὄντως αἱ πολλαὶ φιλίαι καὶ μιμήματα
καὶ εἴδωλα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς γο-

νεῖς ἡ φύσις ἀδελφοῖς τε πρὸς ἀδελφοὺς ἐμπεποίηκε, κἀκείνην ὁ μὴ σεβόμενος μηδὲ τιμῶν ἆρά τινα πίστιν εὐνοίας τοῖς ἀλλοτρίοις δίδωσιν; ἢ ποῖός τίς ἐστιν ὁ τὸν ἑταῖρον ἐν φιλοφροσύναις καὶ γράμμασιν ἀδελφὸν προσαγορεύων, τῷ δ' ἀδελφῷ μηδὲ τὴν αὐτὴν ὁδὸν οἰόμενος δεῖν βαδίζειν; ὡς γὰρ εἰκόνα κοσμεῖν ἀδελφοῦ, τὸ δὲ σῶμα τύπτειν καὶ ἀκρωτηριάζειν μανικόν, οὕτω τοὔνομα σέβεσθαι καὶ τιμᾶν ἐν ἑτέροις, αὐτὸν δὲ μισεῖν καὶ φεύγειν οὐχ ὑγιαίνοντός ἐστιν οὐδ' ἐν νῷ πώποτε τὴν φύσιν, ὡς ἁγιώτατον καὶ μέγιστον ἱερόν, λαβόντος.

VI. Fraterni amoris egregia quaedam exempla.

(Plutarch. de fraterno amore c. 18.)

1 Ἄξιον δὲ πυθέσθαι βαρβάρων ἀδελφῶν διαδικασίαν, οὐ περὶ γηδίου μερίδος οὐδ' ἐπ' ἀνδραπόδοις ἢ προβατίοις γενομένην, ἀλλὰ περὶ τῆς Περσῶν ἡγεμονίας.
2 Δαρείου γὰρ ἀποθανόντος οἱ μὲν ἠξίουν Ἀριαμένην βασιλεύειν πρεσβύτατον ὄντα τῆς γενεᾶς, οἱ δὲ Ξέρξην Ἀτόσσης τε μητρὸς ὄντα τῆς Κύρου θυγατρὸς ἔκ τε Δαρείου βασιλεύοντος ἤδη γεγεννημένον. Ἀριαμένης μὲν οὖν κατέβαινεν ἐκ Μήδων, οὐ πολεμικῶς, ἀλλ' ὡς ἐπὶ δίκην ἡσύχως. Ξέρξης δὲ παρὼν ἔπραττεν ἅπερ ἦν βασιλεῖ προσήκοντα· ἐλθόντος δὲ τοῦ ἀδελφοῦ θεὶς τὸ διάδημα καὶ καταβαλὼν τὴν τιάραν, ἣν φοροῦσιν ὀρθὴν οἱ βασιλεύοντες, ἀπήντησεν αὐτῷ καὶ ἠσπάσατο καὶ δῶρα πέμπων ἐκέλευσεν εἰπεῖν τοὺς κομίζοντας· 'Τούτοις σὲ νῦν τιμᾷ Ξέρξης ὁ ἀδελφός· ἂν δὲ βασιλεὺς κρίσει καὶ ψήφῳ Περσῶν ἀναγορευθῇ, δίδωσί σοι δευτέρῳ μεθ' ἑαυτὸν εἶναι.' καὶ ὁ Ἀριαμένης· 'Ἐγὼ δέ', ἔφη, 'τὰ μὲν δῶρα δέχομαι, βασιλείαν δὲ τὴν Περ-

σῶν ἐμαυτῷ νομίζω προσήκειν· τιμὴν δὲ τὴν μετ' ἐμὲ
τοῖς ἀδελφοῖς φυλάξω, Ξέρξῃ δὲ πρώτῳ τῶν ἀδελφῶν.'
3 ἐπεὶ δὲ ἡ κρίσις ἐνέστη, Πέρσαι μὲν Ἀρτάβανον, ἀδελ-
φὸν ὄντα Δαρείου, δικαστὴν ἀπέφηναν, δόξαν αὐτοῖς,
Ξέρξης δ' ἔφευγεν ἐπ' ἐκείνου κριθῆναι τῷ πλήθει
πεποιθώς. Ἄτοσσα δὲ ἡ μήτηρ ἐπέπληξεν αὐτῷ· 'Τί
φεύγεις Ἀρτάβανον, ὦ παῖ, θεῖον ὄντα καὶ Περσῶν
ἄριστον; τί δὲ οὕτως τὸν ἀγῶνα δέδοικας, ἐν ᾧ καλὰ
καὶ τὰ δευτερεῖα, Περσῶν βασιλέως ἀδελφὸν κληθῆναι;'
πεισθέντος οὖν Ξέρξου καὶ γενομένων λόγων Ἀρτά-
βανος μὲν ἀπεφήνατο Ξέρξῃ τὴν βασιλείαν προσήκειν·
Ἀριαμένης δ' εὐθὺς ἀναπηδήσας προσεκύνησε τὸν ἀδελ-
φὸν καὶ λαβόμενος τῆς δεξιᾶς εἰς τὸν θρόνον ἐκάθισε
τὸν βασίλειον. ἐκ τούτου μέγιστος ἦν παρ' αὐτῷ καὶ
παρεῖχεν εὔνουν ἑαυτόν· ὥστε ἀριστεύων ἐν τῇ περὶ
Σαλαμῖνα ναυμαχίᾳ πεσεῖν ὑπὲρ τῆς ἐκείνου δόξης.
4 Τοῦτο μὲν οὖν ὥσπερ ἀρχέτυπον ἐκκείσθω καθαρὸν
καὶ ἀμώμητον εὐμενείας καὶ μεγαλοφροσύνης. Ἀντιόχου
δὲ τὴν μὲν φιλαρχίαν ψέξειεν ἄν τις· ὅτι δὲ οὐ παντά-
πασιν αὐτῇ τὸ φιλάδελφον ἐνηφανίσθη, θαυμάσειεν.
ἐπολέμει μὲν γὰρ ὑπὲρ τῆς βασιλείας Σελεύκῳ νεώτερος
ὢν ἀδελφὸς καὶ τὴν μητέρα συλλαμβάνουσαν εἶχεν·
ἀκμάζοντος δὲ τοῦ πολέμου μάχην ὁ Σέλευκος Γαλά-
ταις συνάψας καὶ ἡττηθεὶς οὐδαμοῦ φανερὸς ἦν, ἀλλ'
ἔδοξε τεθνάναι, πάσης ὁμοῦ τι τῆς στρατιᾶς ὑπὸ τῶν
5 βαρβάρων κατακοπείσης. πυθόμενος οὖν ὁ Ἀντίοχος
τὴν πορφύραν ἔθηκε καὶ φαιὸν ἱμάτιον ἔλαβε καὶ τὰ
βασίλεια κλείσας ἐπένθει τὸν ἀδελφόν· ὀλίγῳ δὲ ὕστε-
ρον ἀκούσας, ὅτι σῴζεται καὶ δύναμιν αὖθις ἑτέραν
ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν καὶ ταῖς πό-
λεσιν ὧν ἦρχε θύειν καὶ στεφανηφορεῖν ἐπήγγειλεν.

Ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν μῦθον 6
ἀτόπως πλάσαντες ἐπανόρθωμα τῆς ἀτοπίας οὐ φαῦλον
ἐνέμιξαν αὐτῷ· τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ τοῦ
Βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ Ποσειδῶνι πρὸς τὴν
Ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. τί οὖν κωλύει καὶ 7
ἡμᾶς ἐν διαφορᾷ ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γε-
νομένους ἐν ἀμνηστίᾳ τὴν ἡμέραν ἐκείνην τίθεσθαι
καὶ μίαν τῶν ἀποφράδων νομίζειν, ἀλλὰ μὴ πολλῶν
καὶ ἀγαθῶν ἐν αἷς συνετράφημεν καὶ συνεβιώσαμεν
ἡμερῶν διὰ μίαν ἐπιλανθάνεσθαι; ἢ γὰρ μάτην καὶ
πρὸς οὐδὲν ἡ φύσις ἡμῖν ἔδωκε πρᾳότητα καὶ μετριο-
παθείας ἔκγονον ἀνεξικακίαν· ἢ μάλιστα χρηστέον
τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους. οὐχ ἧττον δὲ 8
τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι τὸ αἰτεῖσθαι καὶ
λαμβάνειν αὐτοὺς ἁμαρτόντας εὔνοιαν ἐμφαίνει καὶ
φιλοστοργίαν. ὅθεν ὀργιζομένων τε δεῖ μὴ ἀμελεῖν
καὶ παραιτουμένοις μὴ ἀντιτείνειν, ἀλλὰ καὶ φθάνειν
πολλάκις ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν ὀργήν,
ἀδικηθέντας τε πάλιν αὖ τῇ συγγνώμῃ τὴν παραίτησιν.
ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς σχολαῖς περι- 9
βόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θη-
ριώδη τοῦ ἀδελφοῦ πρὸς αὐτὸν εἰπόντος· ‘Ἀπολοίμην,
εἰ μή σε τιμωρησαίμην.’ ‘Ἐγὼ δέ’, εἶπεν, ‘εἰ μή σε
πείσαιμι παύσασθαι τῆς ὀργῆς καὶ φιλεῖν ἡμᾶς ὡς
πρότερον ἐφίλεις.’ τὸ δ’ Εὐμένους τοῦ βασιλέως ἔργον, 10
οὐ λόγος, ὑπερβολὴν οὐδεμίαν πρᾳότητος ἀπολέλοιπε.
Περσεὺς γάρ, ὁ τῶν Μακεδόνων βασιλεύς, ἐχθρὸς ὢν
αὐτῷ παρεσκεύασε τοὺς ἀποκτενοῦντας· οἱ δὲ περὶ
Δελφοὺς ἐνήδρευον αἰσθόμενοι βαδίζοντα πρὸς τὸν
θεὸν ἀπὸ θαλάσσης. γενόμενοι δ’ ὄπισθεν αὐτοῦ λί-
θους μεγάλους ἐμβάλλουσιν εἴς τε τὴν κεφαλὴν καὶ

σῶν ἐμαυτῷ νομίζω προσήκειν· τιμὴν δὲ τὴν μετ' ἐμὲ τοῖς ἀδελφοῖς φυλάξω, Ξέρξῃ δὲ πρώτῳ τῶν ἀδελφῶν.'
3 ἐπεὶ δὲ ἡ κρίσις ἐνέστη, Πέρσαι μὲν Ἀρτάβανον, ἀδελφὸν ὄντα Δαρείου, δικαστὴν ἀπέφηναν, δόξαν αὐτοῖς, Ξέρξης δ' ἔφευγεν ἐπ' ἐκείνου κριθῆναι τῷ πλήθει πεποιθώς. Ἄτοσσα δὲ ἡ μήτηρ ἐπέπληξεν αὐτῷ· 'Τί φεύγεις Ἀρτάβανον, ὦ παῖ, θεῖον ὄντα καὶ Περσῶν ἄριστον; τί δὲ οὕτως τὸν ἀγῶνα δέδοικας, ἐν ᾧ καλὰ καὶ τὰ δευτερεῖα, Περσῶν βασιλέως ἀδελφὸν κληθῆναι;' πεισθέντος οὖν Ξέρξου καὶ γενομένων λόγων Ἀρτάβανος μὲν ἀπεφήνατο Ξέρξῃ τὴν βασιλείαν προσήκειν· Ἀριαμένης δ' εὐθὺς ἀναπηδήσας προσεκύνησε τὸν ἀδελφὸν καὶ λαβόμενος τῆς δεξιᾶς εἰς τὸν θρόνον ἐκάθισε τὸν βασίλειον. ἐκ τούτου μέγιστος ἦν παρ' αὐτῷ καὶ παρεῖχεν εὔνουν ἑαυτόν· ὥστε ἀριστεύων ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ πεσεῖν ὑπὲρ τῆς ἐκείνου δόξης.

4 Τοῦτο μὲν οὖν ὥσπερ ἀρχέτυπον ἐκκείσθω καθαρὸν καὶ ἀμώμητον εὐμενείας καὶ μεγαλοφροσύνης. Ἀντιόχου δὲ τὴν μὲν φιλαρχίαν ψέξειεν ἄν τις· ὅτι δὲ οὐ παντάπασιν αὐτῇ τὸ φιλάδελφον ἐνηφανίσθη, θαυμάσειεν. ἐπολέμει μὲν γὰρ ὑπὲρ τῆς βασιλείας Σελεύκῳ νεώτερος ὢν ἀδελφὸς καὶ τὴν μητέρα συλλαμβάνουσαν εἶχεν· ἀκμάζοντος δὲ τοῦ πολέμου μάχην ὁ Σέλευκος Γαλάταις συνάψας καὶ ἡττηθεὶς οὐδαμοῦ φανερὸς ἦν, ἀλλ' ἔδοξε τεθνάναι, πάσης ὁμοῦ τι τῆς στρατιᾶς ὑπὸ τῶν
5 βαρβάρων κατακοπείσης. πυθόμενος οὖν ὁ Ἀντίοχος τὴν πορφύραν ἔθηκε καὶ φαιὸν ἱμάτιον ἔλαβε καὶ τὰ βασίλεια κλείσας ἐπένθει τὸν ἀδελφόν· ὀλίγῳ δὲ ὕστερον ἀκούσας, ὅτι σῴζεται καὶ δύναμιν αὖθις ἑτέραν ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν καὶ ταῖς πόλεσιν ὧν ἦρχε θύειν καὶ στεφανηφορεῖν ἐπήγγειλεν.

Ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν μῦθον 6
ἀτόπως πλάσαντες ἐπανόρθωμα τῆς ἀτοπίας οὐ φαῦλον
ἐνέμιξαν αὐτῷ· τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ τοῦ
Βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ Ποσειδῶνι πρὸς τὴν
Ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. τί οὖν κωλύει καὶ 7
ἡμᾶς ἐν διαφορᾷ ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γε-
νομένους ἐν ἀμνηστίᾳ τὴν ἡμέραν ἐκείνην τίθεσθαι
καὶ μίαν τῶν ἀποφράδων νομίζειν, ἀλλὰ μὴ πολλῶν
καὶ ἀγαθῶν ἐν αἷς συνετράφημεν καὶ συνεβιώσαμεν
ἡμερῶν διὰ μίαν ἐπιλανθάνεσθαι; ἢ γὰρ μάτην καὶ
πρὸς οὐδὲν ἡ φύσις ἡμῖν ἔδωκε πρᾳότητα καὶ μετριο-
παθείας ἔκγονον ἀνεξικακίαν· ᾗ μάλιστα χρηστέον
τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους. οὐχ ἧττον δὲ 8
τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι τὸ αἰτεῖσθαι καὶ
λαμβάνειν αὐτοὺς ἁμαρτόντας εὔνοιαν ἐμφαίνει καὶ
φιλοστοργίαν. ὅθεν ὀργιζομένων τε δεῖ μὴ ἀμελεῖν
καὶ παραιτουμένοις μὴ ἀντιτείνειν, ἀλλὰ καὶ φθάνειν
πολλάκις ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν ὀργήν,
ἀδικηθέντας τε πάλιν αὖ τῇ συγγνώμῃ τὴν παραίτησιν.
ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς σχολαῖς περι- 9
βόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θη-
ριώδη τοῦ ἀδελφοῦ πρὸς αὐτὸν εἰπόντος· 'Ἀπολοίμην,
εἰ μή σε τιμωρησαίμην.' 'Ἐγὼ δέ', εἶπεν, 'εἰ μή σε
πείσαιμι παύσασθαι τῆς ὀργῆς καὶ φιλεῖν ἡμᾶς ὡς
πρότερον ἐφίλεις.' τὸ δ' Εὐμένους τοῦ βασιλέως ἔργον, 10
οὐ λόγος, ὑπερβολὴν οὐδεμίαν πρᾳότητος ἀπολέλοιπε.
Περσεὺς γάρ, ὁ τῶν Μακεδόνων βασιλεύς, ἐχθρὸς ὢν
αὐτῷ παρεσκεύασε τοὺς ἀποκτενοῦντας· οἱ δὲ περὶ
Δελφοὺς ἐνήδρευον αἰσθόμενοι βαδίζοντα πρὸς τὸν
θεὸν ἀπὸ θαλάσσης. γενόμενοι δ' ὄπισθεν αὐτοῦ λί-
θους μεγάλους ἐμβάλλουσιν εἴς τε τὴν κεφαλὴν καὶ

τὸν τράχηλον, ὑφ' ὧν σκοτωθεὶς καὶ πεσὼν ἔδοξε τεθνάναι· καὶ περιῆλθε φήμη πανταχόσε, καὶ φίλοι τινὲς ἀφίκοντο καὶ θεράποντες εἰς Πέργαμον αὐτάγγελοι τοῦ πάθους ἥκειν δοκοῦντες. Ἄτταλος οὖν ὁ πρεσβύτατος αὐτοῦ τῶν ἀδελφῶν, ἀνὴρ ἐπιεικὴς καὶ περὶ τὸν Εὐμένη πάντων ἄριστος, οὐ μόνον βασιλεὺς ἀνηγορεύθη διαδησάμενος, ἀλλὰ καὶ τὴν γυναῖκα τοῦ ἀδελφοῦ
11 *Στρατονίκην ἔγημεν. ἐπεὶ δ' ἀπηγγέλη ζῶν ὁ Εὐμένης καὶ προσήει, θεὶς τὸ διάδημα καὶ λαβών, ὥσπερ εἰώθει, τὰ δοράτια μετὰ τῶν ἄλλων ἀπήντησεν αὐτῷ δορυφόρων. ὁ δὲ κἀκεῖνον εὐμενῶς ἐδεξιώσατο καὶ τὴν βασίλισσαν ἠσπάσατο μετὰ τιμῆς καὶ φιλοφροσύνης· καὶ χρόνον οὐκ ὀλίγον ἐπιβιώσας ἀμέμπτως καὶ ἀνυπόπτως ἀπέθανε, τῷ Ἀττάλῳ τήν τε βασιλείαν καὶ τὴν γυναῖκα παρεγγυήσας. τί οὖν ἐκεῖνος; ἀποθανόντος αὐτοῦ, παιδίον οὐδὲ ἓν ἐκ τῆς γυναικὸς ἀνελέσθαι ἠθέλησε τεκούσης πολλάκις· ἀλλὰ τὸν ἐκείνου παῖδα θρέψας καὶ ἀνδρώσας ἔτι ζῶν ἐπέθηκε τὸ διάδημα καὶ*
12 *βασιλέα προσηγόρευσεν. Ἀλλὰ Καμβύσης ἐξ ἐνυπνίου φοβηθεὶς ὡς βασιλεύσοντα τῆς Ἀσίας τὸν ἀδελφόν, οὐδεμίαν ἀπόδειξιν οὐδ' ἔλεγχον ἀναμείνας ἀπέκτεινεν. ὅθεν ἐξέπεσε τῆς Κύρου διαδοχῆς ἡ ἀρχὴ τελευτήσαντος αὐτοῦ καὶ τὸ Δαρείου γένος ἐβασίλευσεν, ἀνδρὸς οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ φίλοις ἐπισταμένου κοινωνεῖν πραγμάτων καὶ δυνάμεως.*

VII. Εἰ καλῶς εἴρηται τὸ 'λάθε βιώσας'.

(Plutarch. de latenter vivendo c. 1 sqq.)

1 *Ἀλλ' οὐδὲ ὁ τοῦτο εἰπὼν λαθεῖν ἠθέλησεν· αὐτὸ γὰρ τοῦτο εἶπεν, ἵνα μὴ λάθῃ, ὥς τι φρονῶν περιτ-*

τότερον, ἐκ τῆς εἰς ἀδοξίαν προτροπῆς δόξαν ἄδικον
ποριζόμενος·

'Μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.'

Ἀλλ' αἰσχρόν ἐστι τὸ ζῆν, ἵνα ἀγνοῶμεν πάντες; ἐγὼ 2
δ' ἂν εἴποιμι· μηδὲ κακῶς βιώσας λάθε, ἀλλὰ γνώ-
σθητι, σωφρονίσθητι, μετανόησον· εἴτ' ἀρετὴν ἔχεις,
μὴ γένῃ ἄχρηστος· εἴτε κακίαν, μὴ μείνῃς ἀθεράπευτος.
Μᾶλλον δὲ διελοῦ καὶ διόρισον, τίνι τοῦτο προστάτ- 3
τεις. εἰ μὲν ἀμαθεῖ καὶ πονηρῷ καὶ ἀνοήτῳ, οὐδὲν
διαφέρεις τοῦ λέγοντος· Λάθε καὶ πυρέττων, λάθε
φρενετίζων, μὴ γνῷ σε ὁ ἰατρός· ἴθι ῥίψας ποι κατὰ
σκότου σεαυτόν, ἀγνοούμενος σὺν τοῖς πάθεσι· καὶ σὺ
ἴθι τῇ κακίᾳ νόσον ἀνήκεστον νοσῶν καὶ ὀλέθριον,
ἀποκρύπτων τοὺς φθόνους, τὰς δεισιδαιμονίας, ὥσπερ
τινὰς σφυγμούς, δεδιὼς παρασχεῖν τοῖς νουθετεῖν καὶ
ἰᾶσθαι δυναμένοις. οἱ δὲ σφόδρα παλαιοὶ καὶ τοὺς
νοσοῦντας φανερῶς προῆγον· τούτων δὲ ἕκαστος εἴ
τι πρόσφορον ἔχοι παθὼν αὐτὸς ἢ παθόντα θεραπεύ-
σας, ἔφραζε τῷ δεομένῳ· καὶ τέχνην οὕτω φασὶν ἐκ
πείρας συνερανιζομένην μεγάλην γενέσθαι. ἔδει δὴ καὶ 4
τοὺς νοσώδεις βίους καὶ τὰ τῆς ψυχῆς παθήματα πᾶσιν
ἀπογυμνοῦν, καὶ λέγειν ἕκαστον ἐπισκοποῦντα τὰς δια-
θέσεις· Ὀργίζῃ; τοῦτο φύλαξαι. ζηλοτυπεῖς; ἐκεῖνο
ποίησον. ἐρᾷς; κἀγώ ποτ' ἠράσθην, ἀλλὰ μετενόησα.
νῦν δ' ἀρνούμενοι, ἀποκρυπτόμενοι, περιστέλλοντες
ἐμβαθύνουσι τὴν κακίαν ἑαυτοῖς.

Καὶ μὴν εἴ γε τοῖς χρηστοῖς λανθάνειν καὶ ἀγνο- 5
εῖσθαι παραινεῖς, Ἐπαμεινώνδᾳ λέγεις· Μὴ στρατήγει·
καὶ Λυκούργῳ· Μὴ νομοθέτει· καὶ Θρασυβούλῳ· Μὴ
τυραννοκτόνει· καὶ Πυθαγόρᾳ· Μὴ παίδευε· καὶ Σω-
κράτει· Μὴ διαλέγου· καὶ σεαυτῷ πρῶτον, Ἐπίκουρε·

Μὴ γράφε τοῖς ἐν Ἀσίᾳ φίλοις, μηδὲ τοὺς ἀπ' Αἰγύπτου ξενολόγει, μηδὲ τοὺς Λαμψακηνῶν ἐφήβους δορυφόρει· μηδὲ διάπεμπε βίβλους πᾶσι καὶ πάσαις ἐπιδεικνύμενος τὴν σοφίαν, μηδὲ διατάσσου περὶ ταφῆς. τί γὰρ αἱ κοιναὶ τράπεζαι; τί δὲ αἱ τῶν ἐπιτηδείων καὶ καλῶν σύνοδοι; τί δὲ αἱ τοσαῦται μυριάδες στίχων ἐπὶ Μητρόδωρον, ἐπὶ Ἀριστόβουλον, ἐπὶ Χαιρέδημον γραφόμεναι καὶ συντεττόμεναι φιλοπόνως; ἵνα μηδ' ἀποθανόντες λάθωσιν, ἢ ἵν' ἀμνηστίαν νομοθετῇς ἀρετῇ καὶ ἀπραξίαν τέχνῃ καὶ σιωπὴν φιλοσοφίᾳ καὶ λήθην εὐπραγίᾳ;

6 *Ἐὰν δέ τις ἐν μὲν φυσικοῖς θεὸν ὑμνῇ καὶ δίκην καὶ πρόνοιαν, ἐν δ' ἠθικοῖς νόμον καὶ κοινωνίαν καὶ πολιτείαν, ἐν δὲ πολιτείᾳ τὸ καλόν, ἀλλὰ μὴ τὴν χρείαν, διὰ τί λάθῃ βιώσας; ἵνα μηδένα παιδεύσῃ, μηδενὶ ζῆλος ἀρετῆς μηδὲ παράδειγμα καλὸν γένηται; εἰ Θεμιστοκλῆς Ἀθηναίους ἐλάνθανεν, οὐκ ἂν ἡ Ἑλλὰς ἀπεώσατο Ξέρξην· εἰ Ῥωμαίους Κάμιλλος, οὐκ ἂν ἡ Ῥώμη πόλις ἔμεινεν· εἰ Δίωνα Πλάτων, οὐκ ἂν ἠλευθερώθη ἡ Σικελία. ὥσπερ δέ, οἶμαι, τὸ φῶς οὐ μόνον φανεροὺς ἀλλὰ καὶ χρησίμους καθίστησιν ἡμᾶς ἀλλήλοις, οὕτως ἡ γνῶσις οὐ μόνον δόξαν, ἀλλὰ καὶ πρᾶξιν ταῖς ἀρεταῖς δίδωσιν. Ἐπαμεινώνδας γοῦν εἰς τεσσαρακοστὸν ἔτος ἀγνοηθεὶς οὐδὲν ὤνησε Θηβαίους· ὕστερον δὲ πιστευθεὶς καὶ ἄρξας τὴν μὲν πόλιν ἀπολλυμένην ἔσωσε, τὴν δὲ Ἑλλάδα δουλεύουσαν ἠλευθέρωσε, καθάπερ ἐν φωτὶ τῇ δόξῃ τὴν ἀρετὴν ἐνεργὸν ἐπὶ καιροῦ παρασχόμενος.*

7 *Ἡσυχία δὲ κωφὴ καὶ βίος ἑδραῖος ἐπὶ σχολῆς ἀποκείμενος οὐ μόνον σώματα, ἀλλὰ καὶ ψυχὰς μαραίνει. καὶ καθάπερ τὰ λανθάνοντα τῶν ὑδάτων τῷ περισκιάζεσθαι καὶ καθῆσθαι μὴ ἀπορρέοντα σήπεται, οὕτω*

τῶν ἀκινήτων βίων, ὡς ἔοικεν, ἄν τι χρήσιμον ἔχωσι, φθείρονται καὶ ἀπογηράσκουσιν αἱ σύμφυτοι δυνάμεις.

Δοκῶ δ' ἐγὼ καὶ τὸ ζῆν αὐτὸ καὶ ὅλως τὸ φῦναι 8
καὶ μετασχεῖν ἀνθρώπῳ γενέσεως εἰς γνῶσιν ὑπὸ
θεοῦ δοθῆναι· ἔστι δ' ἄδηλος καὶ ἄγνωστος ἐν τῷ
παντὶ πολλῷ καὶ κατὰ μικρὰ καὶ σποράδην φερόμενος·
ὅταν δὲ γένηται συνερχόμενος αὑτῷ καὶ λαμβάνων μέ-
γεθος, ἐκλάμπει καὶ καθίσταται δῆλος ἐξ ἀδήλου καὶ
φανερὸς ἐξ ἀφανοῦς. ὁ δ' εἰς τὴν ἄγνοιαν αὐτὸν ἐμ-
βαλὼν καὶ σκότος περιαμπισχόμενος καὶ κενοταφῶν
τὸν βίον ἔοικεν αὐτὴν βαρύνεσθαι τὴν γένεσιν καὶ
ἀπαυδᾶν πρὸς τὸ εἶναι.

VIII. Aequam memento rebus in arduis servare mentem etc.

(Plutarch. de tranquillitate animi c. 5. 6.)

Κυβείᾳ ὁ Πλάτων τὸν βίον ἀπείκασεν, ἐν ᾧ καὶ 1
βάλλειν δεῖ τὰ πρόσφορα καὶ βαλόντα χρῆσθαι καλῶς
τοῖς πεσοῦσι. τούτων δὲ τὸ μὲν βάλλειν οὐκ ἐφ' ἡμῖν,
τὸ δὲ προσηκόντως δέχεσθαι τὰ γινόμενα παρὰ τῆς
τύχης καὶ νέμειν ἑκάστῳ τόπον, ἐν ᾧ καὶ τὸ οἰκεῖον
ὠφελήσει μάλιστα καὶ τὸ ἀβούλητον ἥκιστα λυπήσει
τοὺς ἐπιτυγχάνοντας, ἡμέτερον ἔργον ἐστίν, ἂν εὖ
φρονῶμεν. τοὺς μὲν γὰρ ἀτέχνους καὶ ἀνοήτους περὶ 2
τὸν βίον, ὥσπερ τοὺς νοσώδεις τοῖς σώμασι μήτε καῦμα
φέρειν μήτε κρύος δυναμένους, ἐξίστησι μὲν εὐτυχία,
συστέλλει δὲ δυστυχία· ταράττονται δὲ ὑπ' ἀμφοτέρων,
μᾶλλον δὲ ὑφ' αὑτῶν ἐν ἀμφοτέροις, καὶ οὐχ ἧττον
ἐν τοῖς λεγομένοις ἀγαθοῖς. Θεόδωρος μὲν γὰρ ὁ κλη- 3
θεὶς ἄθεος ἔλεγε, τῇ δεξιᾷ τοὺς λόγους ὀρέγοντος αὐ-

*τοῦ, τῇ ἀριστερᾷ δέχεσθαι τοὺς ἀκροωμένους· οἱ δ'
ἀπαίδευτοι πολλάκις τὴν τύχην δεξιὰν παρισταμένην
ἐπαριστέρως μεταλαμβάνοντες ἀσχημονοῦσιν· οἱ δὲ
φρόνιμοι, καθάπερ ταῖς μελίτταις φέρει μέλι τὸ δριμύ-
τατον καὶ ξηρότατον ὁ θύμος, οὕτως ἀπὸ τῶν δυσχε-
ρεστάτων πραγμάτων πολλάκις οἰκεῖόν τι καὶ χρήσιμον
αὐτοῖς λαμβάνουσι.*

4 *Τοῦτο οὖν δεῖ πρῶτον ἀσκεῖν καὶ μελετᾶν, ὥσπερ
ὁ τῆς κυνὸς ἁμαρτὼν τῷ λίθῳ καὶ τὴν μητρυιὰν πα-
τάξας· 'Οὐδ' οὕτως', ἔφη, 'κακῶς.' ἔξεστι γὰρ μεθ-
ιστάναι τὴν τύχην ἐκ τῶν ἀβουλήτων. ἐφυγαδεύθη
Διογένης· οὐδ' οὕτω κακῶς. ἤρξατο γὰρ φιλοσοφεῖν
μετὰ τὴν φυγήν. Ζήνωνι τῷ Κιτιεῖ μία ναῦς περιῆν
φορτηγός· πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι
συγκλυσθεῖσαν· 'Εὖγε', εἶπεν, 'ὦ τύχη, ποιεῖς, εἰς τὸν
5 τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς.' τί οὖν
κωλύει μιμεῖσθαι τούτους; ἀρχὴν παραγγέλλων διή-
μαρτες; ἐν ἀγρῷ διάξεις ἐπιμελόμενος τῶν ἰδίων. ἀλλὰ
φιλίαν μνώμενος ἡγεμόνος ἀπώσθης; ἀκινδύνως καὶ
ἀπραγμόνως βιώσῃ. πάλιν ἐν πράγμασιν ἀσχολίας
ἔχουσι καὶ φροντίδας γέγονας;*

*'Οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα',
κατὰ Πίνδαρον, ὡς δόξα ποιεῖ καὶ τὸ τιμᾶσθαι μετά
τινος δυνάμεως 'πόνον ἡδὺν κάματόν τ' εὐκάματον'.
ἀλλά τις ἀπήντηκεν ἐκ διαβολῆς ἢ φθόνου δυσημερία
καὶ σκορακισμός; ἐπὶ τὰς Μούσας οὔριον τὸ πνεῦμα
καὶ τὴν Ἀκαδήμειαν, ὥσπερ Πλάτωνι χειμασθέντι περὶ
6 τὴν Διονυσίου φιλίαν. διὸ καὶ τοῦτο πρὸς εὐθυμίαν
μέγα, τὸ τοὺς ἐνδόξους ἀποθεωρεῖν, εἰ μηδὲν ὑπὸ τῶν
αὐτῶν πεπόνθασιν. οἷον ἀπαιδία τὸ λυποῦν ἐστι; τοὺς
τῶν Ῥωμαίων ὅρα βασιλεῖς, ὧν οὐδεὶς υἱῷ τὴν ἀρχὴν*

ἀπέλιπε. πενίᾳ δυσφορεῖς παρούσῃ; καὶ τίς ἂν ἐβούλου
εἶναι μᾶλλον Βοιωτῶν ἢ Ἐπαμεινώνδας; τίς δὲ Ῥωμαίων
ἢ Φαβρίκιος; Οὐδὲ Στίλπωνα τῶν κατ' αὐτὸν φιλο- 7
σόφων ἱλαρώτατα ζῆν ἐκώλυσεν ἀκόλαστος οὖσα ἡ θυ-
γάτηρ· ἀλλὰ καὶ Μητροκλέους ὀνειδίσαντος· 'Ἐμὸν
οὖν', ἔφη, 'ἁμάρτημα τοῦτό ἐστιν ἢ ἐκείνης;' εἰπόντος
δὲ τοῦ Μητροκλέους· 'Ἐκείνης μὲν ἁμάρτημα, σὸν δὲ
ἀτύχημα·' 'Πῶς λέγεις', εἶπεν, 'οὐχὶ τὰ ἁμαρτήματα
καὶ διαπτώματά ἐστι;' 'Πάνυ μὲν οὖν', ἔφη. 'Τὰ δὲ
διαπτώματα, οὐχ ὧν διαπτώματα, καὶ ἀποτεύγματα;'
συνωμολόγησεν ὁ Μητροκλῆς. 'Τὰ δ' ἀποτεύγματα, οὐχ
ὧν ἀποτεύγματα, ἀτυχήματα;' πρᾴῳ λόγῳ καὶ φιλοσόφῳ
κενὸν ἀποδείξας ὕλαγμα τὴν τοῦ κυνικοῦ βλασφημίαν.

IX. Cum inferioribus, non cum superioribus suam cuique condicionem esse comparandam.

(Plutarch. de tranquillitate animi c. 10.)

Καίτοι καὶ τοῦτο μέγα πρὸς εὐθυμίαν ἐστί, τὸ 1
μάλιστα μὲν αὐτὸν ἐπισκοπεῖν καὶ τὰ καθ' ἑαυτόν, εἰ
δὲ μή, τοὺς ὑποδεεστέρους ἀποθεωρεῖν, καὶ μή, καθάπερ
οἱ πολλοί, πρὸς τοὺς ὑπερέχοντας ἀντιπαρεξάγουσιν.
οἷον εὐθὺς οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμέ-
νους, ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους· οἱ δὲ ἐλεύθεροι τοὺς
πολίτας· οὗτοι δὲ πάλιν αὖ τοὺς πλουσίους· οἱ δὲ
πλούσιοι τοὺς σατράπας· οἱ δὲ σατράπαι τοὺς βασιλεῖς·
οἱ δὲ βασιλεῖς τοὺς θεούς, μονονουχὶ βροντᾶν καὶ ἀστρά-
πτειν ἐθέλοντες. εἶτα οὕτως ἀεὶ τῶν ὑπὲρ ἑαυτοὺς ἐν-
δεεῖς ὄντες οὐδέποτε τοῖς καθ' ἑαυτοὺς χάριν ἔχουσιν.

'Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει·' 2

καί

'Οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι

τοῦ, τῇ ἀριστερᾷ δέχεσθαι τοὺς ἀκροωμένους· οἱ δ᾽ ἀπαίδευτοι πολλάκις τὴν τύχην δεξιὰν παρισταμένην ἐπαριστέρως μεταλαμβάνοντες ἀσχημονοῦσιν· οἱ δὲ φρόνιμοι, καθάπερ ταῖς μελίτταις φέρει μέλι τὸ δριμύτατον καὶ ξηρότατον ὁ θύμος, οὕτως ἀπὸ τῶν δυσχερεστάτων πραγμάτων πολλάκις οἰκεῖόν τι καὶ χρήσιμον αὐτοῖς λαμβάνουσι.

4 *Τοῦτο οὖν δεῖ πρῶτον ἀσκεῖν καὶ μελετᾶν, ὥσπερ ὁ τῆς κυνὸς ἁμαρτὼν τῷ λίθῳ καὶ τὴν μητρυιὰν πατάξας· 'Οὐδ᾽ οὕτως', ἔφη, 'κακῶς.' ἔξεστι γὰρ μεθιστάναι τὴν τύχην ἐκ τῶν ἀβουλήτων. ἐφυγαδεύθη Διογένης· οὐδ᾽ οὕτω κακῶς. ἤρξατο γὰρ φιλοσοφεῖν μετὰ τὴν φυγήν. Ζήνωνι τῷ Κιτιεῖ μία ναῦς περιῆν φορτηγός· πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι συγκλυσθεῖσαν· 'Εὖγε', εἶπεν, 'ὦ τύχη, ποιεῖς, εἰς τὸν*
5 *τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς.' τί οὖν κωλύει μιμεῖσθαι τούτους; ἀρχὴν παραγγέλλων διήμαρτες; ἐν ἀγρῷ διάξεις ἐπιμελόμενος τῶν ἰδίων. ἀλλὰ φιλίαν μνώμενος ἡγεμόνος ἀπώσθης; ἀκινδύνως καὶ ἀπραγμόνως βιώσῃ. πάλιν ἐν πράγμασιν ἀσχολίας ἔχουσι καὶ φροντίδας γέγονας;*

'Οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα',

κατὰ Πίνδαρον, ὡς δόξα ποιεῖ καὶ τὸ τιμᾶσθαι μετά τινος δυνάμεως 'πόνον ἡδὺν κάματόν τ᾽ εὐκάματον'. ἀλλά τις ἀπήντηκεν ἐκ διαβολῆς ἢ φθόνου δυσημερία καὶ σκορακισμός; ἐπὶ τὰς Μούσας οὔριον τὸ πνεῦμα καὶ τὴν Ἀκαδήμειαν, ὥσπερ Πλάτωνι χειμασθέντι περὶ
6 *τὴν Διονυσίου φιλίαν. διὸ καὶ τοῦτο πρὸς εὐθυμίαν μέγα, τὸ τοὺς ἐνδόξους ἀποθεωρεῖν, εἰ μηδὲν ὑπὸ τῶν αὐτῶν πεπόνθασιν. οἷον ἀπαιδία τὸ λυποῦν ἐστι; τοὺς τῶν Ῥωμαίων ὅρα βασιλεῖς, ὧν οὐδεὶς υἱῷ τὴν ἀρχὴν*

*ἀπέλιπε. πενίᾳ δυσφορεῖς παρούσῃ; καὶ τίς ἂν ἐβούλου
εἶναι μᾶλλον Βοιωτῶν ἢ Ἐπαμεινώνδας; τίς δὲ Ῥωμαίων
ἢ Φαβρίκιος; Οὐδὲ Στίλπωνα τῶν κατ' αὐτὸν φιλο- 7
σόφων ἱλαρώτατα ζῆν ἐκώλυσεν ἀκόλαστος οὖσα ἡ θυ-
γάτηρ· ἀλλὰ καὶ Μητροκλέους ὀνειδίσαντος· 'Ἐμὸν
οὖν', ἔφη, 'ἁμάρτημα τοῦτό ἐστιν ἢ ἐκείνης;' εἰπόντος
δὲ τοῦ Μητροκλέους· 'Ἐκείνης μὲν ἁμάρτημα, σὸν δὲ
ἀτύχημα·' 'Πῶς λέγεις', εἶπεν, 'οὐχὶ τὰ ἁμαρτήματα
καὶ διαπτώματά ἐστι;' 'Πάνυ μὲν οὖν', ἔφη. 'Τὰ δὲ
διαπτώματα, οὐχ ὧν διαπτώματα, καὶ ἀποτεύγματα;'
συνωμολόγησεν ὁ Μητροκλῆς. 'Τὰ δ' ἀποτεύγματα, οὐχ
ὧν ἀποτεύγματα, ἀτυχήματα;' πράῳ λόγῳ καὶ φιλοσόφῳ
κενὸν ἀποδείξας ὕλαγμα τὴν τοῦ κυνικοῦ βλασφημίαν.*

IX. Cum inferioribus, non cum superioribus suam cuique condicionem esse comparandam.

(Plutarch. de tranquillitate animi c. 10.)

*Καίτοι καὶ τοῦτο μέγα πρὸς εὐθυμίαν ἐστί, τὸ 1
μάλιστα μὲν αὐτὸν ἐπισκοπεῖν καὶ τὰ καθ' ἑαυτόν, εἰ
δὲ μή, τοὺς ὑποδεεστέρους ἀποθεωρεῖν, καὶ μή, καθάπερ
οἱ πολλοί, πρὸς τοὺς ὑπερέχοντας ἀντιπαρεξάγουσιν.
οἷον εὐθὺς οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμέ-
νους, ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους· οἱ δὲ ἐλεύθεροι τοὺς
πολίτας· οὗτοι δὲ πάλιν αὖ τοὺς πλουσίους· οἱ δὲ
πλούσιοι τοὺς σατράπας· οἱ δὲ σατράπαι τοὺς βασιλεῖς·
οἱ δὲ βασιλεῖς τοὺς θεούς, μονονουχὶ βροντᾶν καὶ ἀστρά-
πτειν ἐθέλοντες. εἶτα οὕτως ἀεὶ τῶν ὑπὲρ ἑαυτοὺς ἐν-
δεεῖς ὄντες οὐδέποτε τοῖς καθ' ἑαυτοὺς χάριν ἔχουσιν.*

'Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει·' 2

καί

'Οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι

θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.'

Θάσιος γὰρ ἐκεῖνος ἦν; ἄλλος δέ τις Χῖος, ἄλλος δὲ Γαλάτης ἢ Βιθυνός, οὐκ ἀγαπῶν, εἴ τινος μερίδος ἢν ἢ δόξαν ἢ δύναμιν ἐν τοῖς ἑαυτοῦ πολίταις εἴληχεν, ἀλλὰ κλαίων, ὅτι μὴ φορεῖ πατρικίους· ἐὰν δὲ καὶ φορῇ, ὅτι μηδέπω στρατηγεῖ Ῥωμαίων· ἐὰν δὲ καὶ στρατηγῇ, ὅτι μὴ ὑπατεύει· καὶ ὑπατεύων, ὅτι μὴ πρῶτος, ἀλλ' ὕστε-
3 ρος ἀνηγορεύθη. τοῦτο τί δέ ἐστι; τί ἄλλο ἢ συλλέγοντα προφάσεις ἀχαριστίας ἐπὶ τὴν τύχην αὐτὸν ὑφ' αὑτοῦ κολάζεσθαι καὶ διδόναι δίκην; ἀλλ' ὅ γε νοῦν ἔχων σωτήρια φρονοῦντα τοῦ ἡλίου μυριάδας ἀνθρώπων ἀπείρους ἐφορῶντος,

'Εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός',

οὐκ εἴ τινων ἧττον ἔνδοξός ἐστι καὶ πλούσιος, ὀδυρόμενος κάθηται καὶ ταπεινούμενος, ἀλλ' ὅτι μυρίων μυριάκις ἐν τοσούτοις εὐσχημονέστερον ζῇ καὶ βέλτιον, ὑμνῶν τὸν ἑαυτοῦ δαίμονα καὶ τὸν βίον ἐν ὁδῷ πρόεισιν. ἐν Ὀλυμπίᾳ μὲν γὰρ οὐκ ἔστι νικᾶν ἐκλεγόμενον ἀντιπάλους· ἐν δὲ τῷ βίῳ τὰ πράγματα δίδωσι περιόντα πολλῶν μέγα φρονεῖν καὶ ζηλωτὸν μᾶλλον εἶναι ἢ ζηλοῦν ἑτέρους· ἄν γε δὴ μὴ τοῦ Βριάρεω μηδὲ τοῦ Ἡρακλέους ποιήσῃς σεαυτὸν ἀνταγωνιστήν.
4 ὅταν οὖν πάνυ θαυμάσῃς ὡς κρείττονα τὸν ἐν τῷ φορείῳ κομιζόμενον, ὑποκύψας θέασαι καὶ τοὺς βαστάζοντας· καὶ ὅταν διαβαίνοντα τὴν σχεδίαν μακαρίσῃς τὸν Ξέρξην ἐκεῖνον, ὡς ὁ Ἑλλησπόντιος, ἴδε καὶ τοὺς ὑπὸ μάστιξι διορύττοντας τὸν Ἄθω καὶ τοὺς περικοπτομένους ὦτα καὶ ῥῖνας ἐπὶ τῷ διαλυθῆναι τὴν γέφυραν ὑπὸ τοῦ κλύδωνος, ἅμα καὶ τὴν ἐκείνων ἀποθεωρῶν διάνοιαν, ὅτι τὸν σὸν βίον καὶ τὰ σὰ πράγματα μα-

χαρίζουσιν. ὁ Σωκράτης ἀκούσας τινὸς τῶν φίλων 5
λέγοντος, ὡς πολυτελὴς ἡ πόλις· 'μνᾶς ὁ Χῖος οἶνος· ἡ πορφύρα τριῶν μνῶν· τοῦ μέλιτος ἡ κοτύλη πέντε δραχμῶν·' λαβὼν αὐτὸν προσήγαγε τοῖς ἀλφίτοις· 'Ὀβολοῦ τὸ ἡμίεκτον, εὐτελὴς ἡ πόλις·' εἶτα ταῖς ἐλαίαις· 'δυοῖν χαλκοῖν ἡ χοῖνιξ, εὐτελὴς ἡ πόλις·' εἶτα ταῖς ἐξωμίσι· 'δέκα δραχμῶν, εὐτελὴς ἡ πόλις.' οὐκοῦν καὶ ἡμεῖς, ὅταν ἀκούσωμεν ἑτέρου λέγοντος, ὡς μικρὰ τὰ καθ' ἡμᾶς πράγματα καὶ λυπρὰ δεινῶς, μὴ ὑπατευόντων μηδὲ ἐπιτροπευόντων, ἔξεστιν εἰπεῖν· Λαμπρὰ τὰ καθ' ἡμᾶς πράγματα καὶ ζηλωτὸς ἡμῶν ὁ βίος· οὐ προσαιτοῦμεν, οὐκ ἀχθοφοροῦμεν, οὐ κολακεύομεν.

X. Socrates Aristarchum adulescentem edocet, quemadmodum magnos sumptus familiares nullo detrimento possit exercere.

(Xenoph. memor. II 7, 1—14. cf. fasc. II p. 41.)

I. *Σωκράτης τὰς ἀπορίας γε τῶν φίλων τὰς μὲν* 1
δι' ἄγνοιαν ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι, τὰς δὲ δι' ἔνδειαν διδάσκων κατὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ ἐν τούτοις ἃ σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε ὁρῶν σκυθρωπῶς ἔχοντα· '"Ἔοικας', ἔφη, 'ὦ Ἀρίσταρχε, βαρέως φέρειν τι. χρὴ δὲ τοῦ βάρους μεταδιδόναι τοῖς φίλοις· ἴσως γὰρ ἄν τί σε καὶ ἡμεῖς κουφίσαιμεν.' καὶ ὁ Ἀρίσταρχος· ''Ἀλλὰ μήν', ἔφη, 'ὦ 2
Σώκρατες, ἐν πολλῇ γ' εἰμὶ ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις, πολλῶν φυγόντων εἰς τὸν Πειραιᾶ, συνεληλύθασιν ὡς ἐμὲ καταλελειμμέναι ἀδελφαί τε καὶ ἀδελφιδαῖ καὶ ἀνεψιαὶ τοσαῦται, ὥστ' εἶναι ἐν τῇ οἰκίᾳ τέτταρας καὶ δέκα τοὺς ἐλευθέρους. λαμβάνομεν δ'

οὔτε ἐκ τῆς γῆς οὐδέν· οἱ γὰρ ἐναντίοι κρατοῦσιν
αὐτῆς· οὔτ' ἀπὸ τῶν οἰκιῶν· ὀλιγανθρωπία γὰρ ἐν τῷ
3 ἄστει γέγονε. τὰ ἔπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δα-
νείσασθαι οὐδαμόθεν ἔστιν ἀργύριον, ἀλλὰ πρότερον
ἄν τίς μοι δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν ἢ δανειζό-
μενος λαβεῖν. χαλεπὸν μὲν οὖν ἐστιν, ὦ Σώκρατες,
τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύνατον δὲ το-
4 σούτους τρέφειν ἐν τοιούτοις πράγμασιν.' ἀκούσας οὖν
ταῦτα ὁ Σωκράτης· 'Τί ποτέ ἐστιν', ἔφη, 'ὅτι Κεράμων
μὲν πολλοὺς τρέφων οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις
τἀπιτήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται
τοσαῦτα, ὥστε καὶ πλουτεῖν, σὺ δὲ πολλοὺς τρέφων
δέδοικας, μὴ δι' ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπ-
όλησθε;' 'Ὅτι νὴ Δί'', ἔφη, 'ὁ μὲν δούλους τρέφει,
5 ἐγὼ δ' ἐλευθέρους.' 'Καὶ πότερον', ἔφη, 'τοὺς παρὰ
σοὶ ἐλευθέρους οἴει βελτίους εἶναι ἢ τοὺς παρὰ Κερά-
μωνι δούλους;' 'Ἐγὼ μὲν οἶμαι', ἔφη, 'τοὺς παρ'
ἐμοὶ ἐλευθέρους.' 'Οὐκοῦν', ἔφη, 'αἰσχρὸν τὸν μὲν
ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους
ἔχοντ' ἐν ἀπορίᾳ εἶναι;' 'Νὴ Δί'', ἔφη· 'ὁ μὲν γὰρ
τεχνίτας τρέφει, ἐγὼ δ' ἐλευθερίως πεπαιδευμένους.'
'Ἆρ' οὖν', ἔφη, 'τεχνῖταί εἰσιν οἱ χρήσιμόν τι ποιεῖν
6 ἐπιστάμενοι;' 'Μάλιστά γ'', ἔφη. 'Οὐκοῦν χρήσιμά
γ' ἄλφιτα;' 'Σφόδρα γε.' 'Τί δ' ἄρτοι;' 'Οὐδὲν ἧττον.'
'Τί γάρ;' ἔφη, 'ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα καὶ
χιτωνίσκοι καὶ χλαμύδες καὶ ἐξωμίδες;' 'Σφόδρα γ'',
ἔφη, 'καὶ πάντα ταῦτα χρήσιμα.' 'Ἔπειτα', ἔφη, 'οἱ
παρὰ σοὶ τούτων οὐδὲν ἐπίστανται ποιεῖν;' 'Πάντα
7 μὲν οὖν, ὡς ἐγῷμαι.' 'Εἶτ' οὐκ οἶσθα, ὅτι ἀφ' ἑνὸς
μὲν τούτων, ἀλφιτοποιίας, Ναυσικύδης οὐ μόνον ἑαυ-
τόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς τούτοις καὶ

ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥστε
καὶ τῇ πόλει πολλάκις λειτουργεῖν, ἀπὸ δ' ἀρτοποιίας
Κύρηβος τήν τε οἰκίαν πᾶσαν διατρέφει καὶ ζῇ δαψι-
λῶς, Δημέας δ' ὁ Κολλυτεὺς ἀπὸ χλαμυδουργίας, Μέ-
νων δ' ἀπὸ χλανιδοποιίας, Μεγαρέων δ' οἱ πλεῖστοι
ἀπ' ἐξωμιδοποιίας διατρέφονται;' 'Νὴ Δί'', ἔφη· 'οὗ- 8
τοι μὲν γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν,
ὥστ' ἀναγκάζειν ἐργάζεσθαι, ἃ καλῶς ἔχει· ἐγὼ δ'
ἐλευθέρους τε καὶ συγγενεῖς.' ''Επειτ'', ἔφη, 'ὅτι
ἐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι, οἴει χρῆναι αὐτοὺς
μηδὲν ἄλλο ποιεῖν ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον
καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον
διάγοντας ὁρᾷς καὶ μᾶλλον εὐδαιμονίζεις ἢ τοὺς ἃ
ἐπίστανται χρήσιμα πρὸς τὸν βίον τούτων ἐπιμελομέ-
νους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν αἰσθάνει 9
τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν, ἃ προσήκει ἐπίστα-
σθαι, καὶ πρὸς τὸ μνημονεύειν, ἃ ἂν μάθωσι, καὶ πρὸς
τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι καὶ πρὸς τὸ
κτήσασθαί τε καὶ σῴζειν τὰ χρήσιμα πρὸς τὸν βίον
ὠφέλιμα ὄντα, τὴν δ' ἐργασίαν καὶ τὴν ἐπιμέλειαν
οὐδὲν χρήσιμα; ἔμαθον δέ, ἃ φῂς αὐτὰς ἐπίστασθαι, 10
πότερον ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον οὔτε
ποιήσουσαι αὐτῶν οὐδέν, ἢ τοὐναντίον ὡς καὶ ἐπι-
μελησόμεναι τούτων καὶ ὠφελησόμεναι ἀπ' αὐτῶν; ἀλλὰ
καὶ νῦν μέν, ὡς ἐγῷμαι, οὔτε σὺ ἐκείνας φιλεῖς οὔτ'
ἐκεῖναι σέ, σὺ μὲν ἡγούμενος αὐτὰς ἐπιζημίους εἶναι
σεαυτῷ, ἐκεῖναι δὲ σὲ ὁρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς.
ἐκ δὲ τούτων κίνδυνος μείζω τ' ἀπέχθειαν γίγνεσθαι 11
καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι. ἐὰν δὲ προ-
στατήσῃς, ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις
ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας, ἐκεῖναι δὲ σὲ ἀγαπή-

σουσιν αἰσθόμεναι χαίροντ' αὐταῖς, τῶν δὲ προγε-
γονυιῶν εὐεργεσιῶν ἥδιον μεμνημένοι τὴν ἀπ' ἐκείνων
χάριν αὐξήσετε καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰ-
12 κειότερον ἀλλήλοις ἕξετε. εἰ μὲν τοίνυν αἰσχρόν τι
ἔμελλον ἐργάσεσθαι, θάνατον ἀντ' αὐτοῦ προαιρετέον
ἦν· νῦν δ' ἃ μὲν δοκεῖ κάλλιστα καὶ πρεπωδέστατα
γυναικὶ εἶναι ἐπίστανται, ὡς ἔοικε. πάντες δ', ἃ ἐπί-
στανται, ῥᾷστά τε καὶ τάχιστα καὶ κάλλιστα καὶ ἥδιστα
ἐργάζονται. μὴ οὖν ὄκνει', ἔφη, 'ταῦτ' εἰσηγεῖσθαι
αὐταῖς, ἃ σοί τε λυσιτελήσει κἀκείναις· καί, ὡς εἰκός,
13 ἡδέως ὑπακούσονται.' 'Ἀλλὰ νὴ τοὺς θεούς', ἔφη ὁ
Ἀρίσταρχος, 'οὕτω μοι καλῶς δοκεῖς λέγειν, ὦ Σώ-
κρατες, ὥστε πρόσθεν μὲν οὐ προσιέμην δανείσασθαι,
εἰδώς, ὅτι ἀναλώσας ὃ ἂν λάβω οὐχ ἕξω ἀποδοῦναι,
νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομενεῖν αὐτὸ
ποιῆσαι.'

1 II. Καὶ ἐκ τούτων ἐπορίσθη μὲν ἀφορμή, ἐωνήθη
δ' ἔρια· καὶ ἐργαζόμεναι μὲν ἠρίστων, ἐργασάμεναι δ'
ἐδείπνουν, ἱλαραὶ δ' ἀντὶ σκυθρωπῶν ἦσαν, καὶ ἀντὶ
ὑφορωμένων ἑαυτοὺς ἡδέως ἀλλήλους ἑώρων, καὶ αἱ
μὲν ὡς κηδεμόνα ἐφίλουν, ὁ δ' ὡς ὠφελίμους ἠγάπα.
τέλος δ' ἐλθὼν πρὸς τὸν Σωκράτη χαίρων διηγεῖτο
ταῦτά τε καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τῶν ἐν τῇ
2 οἰκίᾳ ἀργὸν ἐσθίειν. καὶ ὁ Σωκράτης ἔφη· 'Εἶτ' οὐ
λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον; φασὶ γάρ, ὅτε
φωνήεντα ἦν τὰ ζῷα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰ-
πεῖν· "Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά
σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ
τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν
τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σί-
3 του." τὸν κύνα οὖν ἀκούσαντ' εἰπεῖν· "Ναὶ μὰ Δί'·

ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σῴζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γ', εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε." οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητὴς καὶ διὰ σὲ οὐδ' ὑφ' ἑνὸς ἀδικούμεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν.'

XI. Socrates in summis malis docet esse intemperantiam.

(Xenoph. memor. IV 5, 1—12. cf. fasc. II p. 41.)

1 *Ὡς πρακτικωτέρους ἐποίει Σωκράτης τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὑτὸν μάλιστα πάντων ἀνθρώπων, ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν.* 2 *ἀεὶ μὲν οὖν περὶ τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων· οἶδα δέ ποτ' αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα· 'Εἰπέ μοι', ἔφη, 'ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν;' 'Ὡς οἷόν τέ γε μάλιστα', ἔφη.* 3 *'Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι;' 'Ἥκιστα', ἔφη. 'Ἴσως γὰρ ἐλευθέριον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν ἀνελεύθερον νομί-*

*ζεις;' 'Παντάπασί γ'', ἔφη. 'Παντάπασιν ἄρα σοι δο-
κοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι;' 'Νὴ τὸν Δί'
4 εἰκότως.' 'Πότερα δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύ-
εσθαι μόνον τὰ κάλλιστα πράττειν ἢ καὶ ἀναγκάζεσθαι
τὰ αἴσχιστα ποιεῖν;' 'Οὐδὲν ἧττον ἔμοιγ'', ἔφη, 'δο-
κοῦσι ταῦτ' ἀναγκάζεσθαι ἢ ἐκεῖνα κωλύεσθαι.' 'Ποίους
δέ τινας δεσπότας ἡγεῖ τοὺς τὰ μὲν ἄριστα κωλύοντας,
τὰ δὲ κάκιστα ἀναγκάζοντας;' ''Ως δυνατὸν νὴ Δί'',
ἔφη, 'κακίστους.' 'Δουλείαν δὲ ποίαν κακίστην νομί-
ζεις εἶναι;' ''Εγὼ μέν', ἔφη, 'τὴν παρὰ τοῖς κακίστοις
δεσπόταις.' 'Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς
5 δουλεύουσιν;' ''Εμοιγε δοκεῖ', ἔφη. 'Σοφίαν δὲ τὸ
μέγιστον ἀγαθὸν οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώ-
πων ἡ ἀκρασία εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ
δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθά-
νειν αὐτὰ κωλύειν ἀφέλκουσα ἐπὶ τὰ ἡδέα καὶ πολλάκις
αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλή-
ξασα ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι;'
'Γίγνεται τοῦτ'', ἔφη. 'Σωφροσύνης δέ, ὦ Εὐθύδημε,
τίνι ἂν φαῖμεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ
γὰρ δήπου τἀναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα
6 ἐστίν.' ''Ομολογῶ καὶ τοῦτο', ἔφη. 'Τοῦ δ' ἀντὶ τῶν
ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος καὶ
τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δ' ἀμελεῖν πείθοντος
καὶ τοῖς σωφρονοῦσι τἀναντία ποιεῖν ἀναγκάζοντος οἴει
τι ἀνθρώπῳ κάκιον εἶναι;' 'Οὐδέν', ἔφη. 'Οὐκοῦν
τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς
τοῖς ἀνθρώποις αἰτίαν εἶναι;' 'Πάνυ μὲν οὖν', ἔφη.
'Οὐκοῦν καὶ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον
7 εἶναι;' 'Εἰκὸς γάρ', ἔφη. ''Εοικεν ἄρ'', ἔφη, 'ὦ Εὐ-
θύδημε, ἄριστον ἀνθρώπῳ ἐγκράτεια εἶναι;' 'Εἰκότως*

γάρ', ἔφη, 'ὦ Σώκρατες.' ''Εκεῖνο δ', ὦ Εὐθύδημε, ἤδη πώποτ' ἐνεθυμήθης;' 'Ποῖον;' ἔφη. ''Ότι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ' ἐγκράτεια πάντων μάλισθ' ἥδεσθαι ποιεῖ.' 'Πῶς;' ἔφη. ''Ότι ἡ 8
μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν οὔτε δίψος οὔτ' ἀγρυπνίαν, δι' ὧν μόνων ἔστιν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, περιμείναντας καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις.' 'Παντάπασιν', ἔφη, 'ἀληθῆ λέγεις.' ''Αλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ 9
ἀγαθὸν καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινός, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο καὶ ἐχθροὺς κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά, οἱ δ' ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν 10
τῶν τοιούτων προσήκειν ἢ ᾧ ἥκιστ' ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς;' καὶ ὁ Εὐθύδημος· 'Δοκεῖς μοι', ἔφη, 'ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει.' 'Τί γὰρ διαφέρει', ἔφη, 'ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς 11
ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγ-

μάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.' καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα.

XII. Quam vana et stolida hominum vota esse possint, exemplo Timolai demonstratur.

(Lucian. navig. 41—46. cf. fasc. II p. 20.)

Quattuor amici e portu Piraeo in urbem ad portam Dipylon redeuntes in itinere, quid quisque ipsorum maxime optabile censeat, invicem colloquuntur. postquam primus sibi aurum, alter exercitus et imperium exoptavit, hoc loco Timolaus anulos, quorum ope mira efficere possit, optat, Lycinus autem, cui quarto loco dicendum est, vana amicorum vota illudit.

ΛΥΚΙΝΟΣ ΚΑΙ ΤΙΜΟΛΑΟΣ.

1 ΛΥΚ. Ἀλλ' ἤδη σὸν αἰτεῖν, ὦ Τιμόλαε, καὶ ὅπως ὑπερβάλῃ τούτους, ὥσπερ εἰκὸς ἄνδρα συνετὸν καὶ πράγμασι χρῆσθαι εἰδότα.

ΤΙΜ. Σκόπει γοῦν, ὦ Λυκῖνε, εἴ τι ἐπιλήψιμον εὔξομαι καὶ ὅ τι ἂν εὐθῦναί τις δυνηθείη. χρυσὸν μὲν οὖν καὶ θησαυροὺς καὶ μεδίμνους νομίσματος ἢ βασιλείας καὶ πολέμους καὶ δείματα ὑπὲρ τῆς ἀρχῆς, ἃ εἰκότως διέβαλες, οὐκ αἰτήσομαι· ἀβέβαια γὰρ ταῦτά γε καὶ πολλὰς τὰς ἐπιβουλὰς ἔχοντα καὶ πλέον τοῦ ἡδέος
2 τὸ ἀνιαρὸν ἐν αὐτοῖς ἦν. ἐγὼ δὲ βούλομαι τὸν Ἑρμῆν ἐντυχόντα μοι δοῦναι δακτυλίους τινὰς καὶ τοιούτους τὴν δύναμιν, ἕνα μὲν ὥστε ἀεὶ ἐρρῶσθαι καὶ ὑγιαίνειν τὸ σῶμα καὶ ἄτρωτον εἶναι καὶ ἀπαθῆ, ἕτερον δὲ ὡς μὴ ὁρᾶσθαι τὸν περιθέμενον, οἷος ἦν ὁ τοῦ Γύγου, τὸν δέ τινα ὡς ἰσχύειν ὑπὲρ ἄνδρας μυρίους

καὶ ὅ τι ἂν ἄχθος ἅμα μυρίοι κινῆσαι μόλις δύναιντο,
τοῦτο ἐμὲ ῥᾳδίως μόνον ἀνατίθεσθαι, ἔτι δὲ καὶ πέτε-
σθαι πολὺ ἀπὸ τῆς γῆς ἀρθέντα, καὶ πρὸς τοῦτο εἶναί
μοι δακτύλιόν τινα· καὶ μὴν καὶ ἐς ὕπνον κατασπᾶν
ὁπόσους ἂν ἐθέλω καὶ ἅπασαν θύραν προσιόντι μοι
ἀνοίγεσθαι χαλωμένου τοῦ κλείθρου καὶ τοῦ μοχλοῦ
ἀφαιρουμένου, ταῦτα ἀμφότερα εἷς δακτύλιος δυνάσθω.
τὸ δὲ μέγιστον ἄλλος τις ἔστω ἐπὶ πᾶσιν ὁ ἥδιστος, 3
ὡς ἐράσμιον εἶναί με περιθέμενον παισὶ τοῖς ὡραίοις
καὶ γυναιξὶ καὶ δήμοις ὅλοις καὶ μηδένα εἶναι ἀνέρα-
στον. καὶ ταῦτα πάντα ἔχειν μὴ ὀλιγοχρόνιον ὄντα
μηδὲ κατὰ μέτρον ζῶντα τῆς ἀνθρωπίνης βιοτῆς, ἀλλ'
ἔτη χίλια νέον ἐκ νέου γιγνόμενον διαβιῶναι ἀμφὶ τὰ
ἑπτακαίδεκα ἔτη ἀεὶ ἀποδυόμενον τὸ γῆρας ὥσπερ οἱ
ὄφεις· οὐδὲν γὰρ δεήσει με ταῦτα ἔχοντα· πάντα γὰρ
ἐμὰ ἦν ἂν τὰ τῶν ἄλλων, ἐς ὅσον ἀνοίγειν τε τὰς
θύρας ἐδυνάμην καὶ κοιμίζειν τοὺς φύλακας καὶ ἀθέα-
τος εἶναι εἰσιών. εἰ δέ τι ἐν Ἰνδοῖς ἢ Ὑπερβορέοις 4
θέαμα παράδοξον ἢ κτῆμα τίμιον ἢ ὅσα ἐμφαγεῖν ἢ
πιεῖν ἡδέα, οὐ μεταστειλάμενος, ἀλλ' αὐτὸς ἐπιπετό-
μενος ἀπέλαυον ἂν ἁπάντων ἐς κόρον· καὶ ἐπεὶ γρὺψ
ὑπόπτερον θηρίον ἢ φοῖνιξ ὄρνεον ἐν Ἰνδοῖς ἀθέατον
τοῖς ἄλλοις, ἐγὼ δὲ καὶ τοῦτο ἑώρων ἄν, καὶ τὰς πη-
γὰς δὲ τὰς Νείλου μόνος ἂν ἠπιστάμην καὶ ὅσον τῆς
γῆς ἀοίκητον, καὶ εἴ τινες ἀντίποδες ἡμῖν οἰκοῦσι τὸ
νότιον τῆς γῆς ἡμίτομον ἔχοντες. ἔτι δὲ καὶ ἀστέρων
φύσιν καὶ σελήνης καὶ αὐτοῦ ἡλίου ῥᾳδίως ἔγνων ἂν
ἀπαθὴς ὢν τῷ πυρί, καὶ τὸ πάντων ἥδιστον, αὐθημε-
ρὸν ἀγγεῖλαι ἐς Βαβυλῶνα, τίς ἐνίκησεν Ὀλύμπια, καὶ
ἀριστήσαντα, εἰ τύχοι, ἐν Συρίᾳ δειπνῆσαι ἐν Ἰταλίᾳ.
εἰ δέ τις ἐχθρὸς εἴη, ἀμύνασθαι καὶ τοῦτον ἐκ τοῦ 5

ἀφανοῦς πέτρον ἐμβαλόντα τῇ κεφαλῇ, ὡς ἐπιτετρῖφθαι τὸ κρανίον, τούς τε αὖ φίλους εὖ ποιεῖν ἐπιχέαντα κοιμωμένοις αὐτοῖς τὸ χρυσίον· καὶ μὴν εἴ τις ὑπερόπτης εἴη ἢ τύραννος πλούσιος ὑβριστής, ἀράμενος ἂν αὐτὸν ὅσον ἐπὶ σταδίους εἴκοσιν ἀφῆκα φέρεσθαι κατὰ τῶν κρημνῶν. τοῖς παιδικοῖς δὲ ἀκωλύτως ὁμιλεῖν ἂν ἐξῆν εἰσιόντα ἀθέατον κοιμίσαντα ἅπαντας ἄνευ ἐκεί-
6 νων μόνων. οἷον δ' ἂν κἀκεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν ἔξω βέλους ὑπεραιωρούμενον; καὶ εἰ δόξειέ μοι, προσθέμενος ἂν τοῖς ἡττημένοις κοιμίσας τοὺς κρατοῦντας νικᾶν παρεῖχον τοῖς φεύγουσιν ἀναστρέψασιν ἀπὸ τῆς τροπῆς. καὶ τὸ ὅλον, παιδιὰν ἐποιούμην ἂν τὸν τῶν ἀνθρώπων βίον καὶ πάντα ἐμὰ ἦν καὶ θεὸς ἐδόκουν τοῖς ἄλλοις. τοῦτο ἡ ἄκρα εὐδαιμονία ἐστὶ μήτε ἀπολέσθαι μήτε ἐπιβουλευθῆναι δυναμένη, καὶ μάλιστα μεθ' ὑγιείας ἐν μακρῷ τῷ βίῳ. τί ἂν αἰτιάσαιο, ὦ Λυκῖνε, τῆς εὐχῆς;

7 ΛΥΚ. Οὐδέν, ὦ Τιμόλαε· οὐδὲ γὰρ ἀσφαλὲς ἐναντιοῦσθαι ἀνδρὶ πτηνῷ καὶ ὑπὲρ μυρίους τὴν ἰσχύν, πλὴν ἀλλὰ ἐκεῖνο ἐρήσομαί σε, εἴ τινα ἄλλον εἶδες ἐν τοσούτοις ἔθνεσιν, ὅσα ὑπερέπτης, γέροντα ἤδη ἄνδρα οὕτω παρακεκινηκότα τὴν γνώμην, ἐπὶ δακτυλίου μικροῦ ὀχούμενον, ὄρη ὅλα κινεῖν ἄκρῳ τῷ δακτύλῳ δυνάμενον, ἐπέραστον πᾶσι, καὶ ταῦτα φαλακρὸν ὄντα
8 καὶ τὴν ῥῖνα σιμόν; ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δή ποτε οὐχ εἷς δακτύλιος ἅπαντα ταῦτα δύναταί σοι, ἀλλὰ τοσούτους περιημμένος βαδιῇ τὴν ἀριστερὰν πεφορτισμένος κατὰ δάκτυλον ἕνα; μᾶλλον δὲ ὑπερπαίει ὁ ἀριθμός, καὶ δεήσει καὶ τὴν δεξιὰν συνεπιλαβεῖν. καίτοι ἑνὸς τοῦ ἀναγκαιοτάτου προσδεῖ, ὃς περιθέμενόν σε παύσει μωραίνοντα τὴν πολλὴν ταύτην κόρυζαν ἀποξύσας. ἢ

τοῦτο μὲν καὶ ὁ ἐλλέβορος ἱκανὸς ποιῆσαι ζωρότερος ποθείς;

ΤΙΜ. *Ἀλλὰ πάντως, ὦ Λυκῖνε, καὶ αὐτὸς εὔξῃ τι* 9
ἤδη ποτέ, ὡς ἂν μάθωμεν οἷα αἰτήσεις ἀνεπίληπτα καὶ
ἀνέγκλητα ὁ συκοφαντῶν τοὺς ἄλλους.

ΛΥΚ. *Ἀλλ' οὐ δέομαι εὐχῆς ἐγώ· ἥκομεν γὰρ δὴ*
πρὸς τὸ Δίπυλον, καὶ ὁ βέλτιστος οὑτοσὶ Σάμιππος
ἀμφὶ Βαβυλῶνα μονομαχῶν, καὶ σύ, ὦ Τιμόλαε, ἀρι-
στῶν μὲν ἐν Συρίᾳ, δειπνῶν δὲ ἐν Ἰταλίᾳ καὶ τοῖς
ἐμοὶ ἐπιβάλλουσι σταδίοις κατεχρήσασθε καλῶς ποιοῦν-
τες· ἄλλως τε οὐκ ἂν δεξαίμην πλουτήσας ἐπ' ὀλίγον
ὑπηνέμιόν τινα πλοῦτον ἀνιᾶσθαι μετ' ὀλίγον ψιλὴν
τὴν μᾶζαν ἐσθίων, οἷα ὑμεῖς πείσεσθε μετ' ὀλίγον,
ἐπειδὰν ἡ εὐδαιμονία μὲν ὑμῖν καὶ ὁ πολὺς πλοῦτος
οἴχηται ἀποπτάμενος, αὐτοὶ δὲ καταβάντες ἀπὸ τῶν
θησαυρῶν τε καὶ διαδημάτων ὥσπερ ἐξ ἡδίστου ὀνεί-
ρατος ἀνεγρόμενοι ἀνόμοια τὰ ἐπὶ τῆς οἰκίας εὑρίσκητε
ὥσπερ οἱ τοὺς βασιλεῖς ὑποκρινόμενοι τραγῳδοὶ ἐξ-
ελθόντες ἀπὸ τοῦ θεάτρου λιμώττοντες οἱ πολλοί, καὶ
ταῦτα πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες ἢ Κρέοντες.
λυπήσεσθε οὖν, ὡς τὸ εἰκός, καὶ δυσάρεστοι ἔσεσθε 10
τὰ ἐπὶ τῆς οἰκίας, καὶ μάλιστα σύ, ὦ Τιμόλαε, ὁπόταν
δέῃ σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ, τῆς πτερώσεως δια-
λυθείσης καταπεσόντα ἐκ τοῦ οὐρανοῦ χαμαὶ βαδίζειν
ἀπολέσαντα τοὺς δακτυλίους ἐκείνους ἅπαντας ἀπορ-
ρυέντας τῶν δακτύλων. ἐμοὶ δὲ καὶ τοῦτο ἱκανὸν ἀντὶ
πάντων θησαυρῶν καὶ Βαβυλῶνος αὐτῆς τὸ γελάσαι
μάλα ἡδέως ἐφ' οἷς ὑμεῖς ᾐτήσατε τοιούτοις οὖσι, καὶ
ταῦτα φιλοσοφίαν ἐπαινοῦντες.

XIII. Non omnia uni civi agenda esse negotia publica, — interdum tamen vel alienis negotiis fas esse se immiscere.

(Plutarch. praecepta gerendae reipubl. c. 15. 23. cf. fasc. IV p. 22.)

1 *Πολιτείας οἱ μὲν εἰς ἅπαν ἐνδύονται μέρος, ὥσπερ
ὁ Κάτων, οὐδεμιᾶς ἀξιοῦντες εἰς δύναμιν ἀπολείπεσθαι
φροντίδος οὐδ' ἐπιμελείας τὸν ἀγαθὸν πολίτην. καὶ
τὸν Ἐπαμεινώνδαν ἐπαινοῦσιν, ὅτι φθόνῳ καὶ πρὸς
ὕβριν ἀποδειχθεὶς τελέαρχος ὑπὸ τῶν Θηβαίων οὐκ
ἠμέλησεν, ἀλλ' εἰπών, ὡς οὐ μόνον ἀρχὴ ἄνδρα δεί-
κνυσιν, ἀλλὰ καὶ ἀρχὴν ἀνήρ, εἰς μέγα καὶ σεμνὸν
ἀξίωμα προήγαγε τὴν τελεαρχίαν, οὐδὲν οὖσαν πρότερον
ἀλλ' ἢ περὶ τοὺς στενωποὺς ἐκβολῆς κοπρίων καὶ ῥευ-*
2 *μάτων ἀποτροπῆς ἐπιμέλειάν τινα. ἕτεροι δὲ σεμνό-
τερον οἴονται καὶ μεγαλοπρεπέστερον εἶναι τὸ τοῦ Πε-
ρικλέους· ὧν καὶ Κριτόλαός ἐστιν ὁ Περιπατητικός,
ἀξιῶν, ὥσπερ ἡ Σαλαμινία ναῦς Ἀθήνησι καὶ ἡ Πά-
ραλος οὐκ ἐπὶ πᾶν ἔργον, ἀλλ' ἐπὶ τὰς ἀναγκαίας καὶ
μεγάλας κατεσπῶντο πράξεις, οὕτως ἑαυτῷ πρὸς τὰ
κυριώτατα καὶ μέγιστα χρῆσθαι, ὡς ὁ τοῦ κόσμου βα-
σιλεύς·*

Τῶν ἄγαν γὰρ ἅπτεται
θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ',

3 *κατὰ τὸν Εὐριπίδην. οὐδὲ γὰρ τοῦ Θεαγένους τὸ φι-
λότιμον ἄγαν καὶ φιλόνικον ἐπαινοῦμεν, ὃς οὐ μόνον
τὴν περίοδον νενικηκώς, ἀλλὰ καὶ πολλοὺς ἀγῶνας, οὐ
παγκρατίῳ μόνον, ἀλλὰ καὶ πυγμῇ καὶ δολίχῳ, τέλος
ἡρῷα δειπνῶν ἐπιταφίου τινός, ὥσπερ εἰώθει, προτε-
θείσης ἅπασι τῆς μερίδος ἀναπηδήσας διεπαγκρατίασεν,
ὡς οὐδένα νικᾶν δέον αὐτοῦ παρόντος· ὅθεν ἤθροισε*

χιλίους καὶ διακοσίους στεφάνους, ὧν συρφετὸν ἄν τις
ἡγήσαιτο τοὺς πλείστους. οὐδὲν οὖν τούτου διαφέ- 4
ρουσιν οἱ πρὸς πᾶσαν ἀποδυόμενοι πολιτικὴν πρᾶξιν,
ἀλλὰ ποιοῦσι μεμπτοὺς ἑαυτοὺς τοῖς πολλοῖς, ἐπαχθεῖς
τε γίγνονται καὶ κατορθοῦντες ἐπίφθονοι, κἂν σφα-
λῶσιν, ἐπίχαρτοι, καὶ τὸ θαυμαζόμενον αὐτῶν ἐν ἀρχῇ
τῆς ἐπιμελείας εἰς χλευασμὸν ὑπονοστεῖ καὶ γέλωτα.
τοιοῦτον τὸ

'Μητίοχος μὲν γὰρ στρατηγεῖ, Μητίοχος δὲ τὰς ὁδούς,
Μητίοχος δ' ἄρτους ἐπωπᾷ, Μητίοχος δὲ τἄλφιτα,
Μητίοχος δὲ πάντ' ἀκεῖται, Μητίοχος δ' οἰμώξεται.'

τῶν Περικλέους οὗτος εἷς ἦν ἑταίρων τῇ δι' ἐκεῖνον,
ὡς ἔοικε, δυνάμει χρώμενος ἐπιφθόνως καὶ κατακόρως.
δεῖ δέ, ὥς φασιν, ἐρῶντι τῷ δήμῳ τὸν πολιτικὸν προσ- 5
φέρεσθαι καὶ μὴ παρόντος ἑαυτοῦ πόθον ἐναπολείπειν·
ὃ καὶ Σκιπίων ὁ Ἀφρικανὸς ἐποίει πολὺν χρόνον ἐν
ἀγρῷ διαιτώμενος, ἅμα καὶ τοῦ φθόνου τὸ βάρος ἀφαι-
ρῶν καὶ διδοὺς ἀναπνοὴν τοῖς πιέζεσθαι δοκοῦσιν ὑπὸ
τῆς ἐκείνου δόξης. Τιμησίας δὲ ὁ Κλαζομένιος τὰ μὲν 6
ἄλλα ἦν περὶ τὴν πόλιν ἀνὴρ ἀγαθός, τῷ δὲ πάντα
πράσσειν δι' ἑαυτοῦ φθονούμενος ἠγνόει καὶ μισού-
μενος, ἕως αὐτῷ συνέβη τι τοιοῦτον· ἔτυχον ἐν ὁδῷ
παῖδες ἐκ λάκκου τινὸς ἀστράγαλον ἐκκόπτοντες ἐκεί-
νου παριόντος. ὧν οἱ μὲν ἔφασκον μένειν· ὁ δὲ πα-
τάξας· 'Οὕτως', εἶπεν, 'ἐκκόψαιμι Τιμησίου τὸν ἐγκέ-
φαλον, ὡς οὗτος ἐκκέκοπται.' τοῦτο ὁ Τιμησίας ἀκούσας
καὶ συνεὶς τὸν διήκοντα διὰ πάντων αὐτοῦ φθόνον,
ἀναστρέψας ἔφρασε τὸ πρᾶγμα τῇ γυναικὶ καὶ κελεύσας
ἕπεσθαι συνεσκευασμένην εὐθὺς ἀπὸ τῶν θυρῶν ᾤχετο
ἀπιὼν ἐκ τῆς πόλεως. ἔοικε δὲ καὶ Θεμιστοκλῆς τοι- 7
ούτου τινὸς ἀπαντῶντος αὐτῷ παρὰ τῶν Ἀθηναίων

εἰπεῖν· 'Τί, ὦ μακάριοι, κοπιᾶτε πολλάκις εὖ πάσχοντες;'
8 Αὐτῶν δὲ τούτων τὰ μὲν ὀρθῶς, τὰ δ' οὐκ εὖ λέλεκται. τῇ μὲν γὰρ εὐνοίᾳ καὶ κηδεμονίᾳ δεῖ μηδενὸς ἀφεστάναι τῶν κοινῶν, ἀλλὰ πᾶσι προσέχειν καὶ γινώσκειν ἕκαστα, μηδέ, ὥσπερ ἐν πλοίῳ, σκεῦος ἱερὸν ἀποκεῖσθαι τὰς ἐσχάτας περιμένοντα χρείας τῆς πόλεως καὶ τύχας· ἀλλ' ὡς οἱ κυβερνῆται τὰ μὲν ταῖς χερσὶ δι' αὑτῶν πράττουσι, τὰ δ' ὀργάνοις ἑτέροις δι' ἑτέρων ἄπωθεν καθήμενοι περιάγουσι καὶ στρέφουσι, χρῶνται δὲ καὶ ναύταις καὶ πρωρεῦσι καὶ κελευσταῖς, καὶ τούτων ἐνίους ἀνακαλούμενοι πολλάκις εἰς πρύμναν ἐγχειρίζουσι τὸ πηδάλιον· οὕτω τῷ πολιτικῷ προσήκει παραχωρεῖν μὲν ἑτέροις ἄρχειν καὶ προκαλεῖσθαι πρὸς τὸ βῆμα μετ' εὐμενείας καὶ φιλανθρωπίας, κινεῖν δὲ μὴ πάντα τὰ τῆς πόλεως τοῖς αὑτοῦ λόγοις καὶ ψηφίσμασιν ἢ πράξεσιν, ἀλλ' ἔχοντα πιστοὺς καὶ ἀγαθοὺς ἄνδρας ἕκαστον ἑκάστῃ χρείᾳ κατὰ τὸ οἰκεῖον προσαρμόττειν· ὡς Περικλῆς Μενίππῳ μὲν ἐχρῆτο πρὸς τὰς στρατηγίας, δι' Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε, διὰ δὲ Χαρίνου τὸ κατὰ Μεγαρέων ἐκύρωσε ψήφισμα,
9 Λάμπωνα δὲ Θουρίων οἰκιστὴν ἐξέπεμψεν. οὐ γὰρ μόνον τῆς δυνάμεως εἰς πολλοὺς διανέμεσθαι δοκούσης ἧττον ἐνοχλεῖ τὸν φθόνον τὸ μέγεθος, ἀλλὰ καὶ τὰ τῶν χρειῶν ἐπιτελεῖται μᾶλλον. ὡς γὰρ ὁ τῆς χειρὸς εἰς τοὺς δακτύλους μερισμὸς οὐκ ἀσθενῆ πεποίηκεν, ἀλλὰ τεχνικὴν καὶ ὀργανικὴν αὐτῆς τὴν χρῆσιν, οὕτως ὁ πραγμάτων ἑτέροις ἐν πολιτείᾳ μεταδιδοὺς ἐνεργοτέραν ποιεῖ τῇ κοινωνίᾳ τὴν πρᾶξιν· ὁ δ' ἀπληστίᾳ δόξης ἢ δυνάμεως πᾶσαν ἑαυτῷ τὴν πόλιν ἀνατιθεὶς καὶ πρὸς ὃ μὴ πέφυκε μηδ' ἤσκηται προσάγων αὑτόν, ὡς Κλέων πρὸς τὸ στρατηγεῖν, Φιλοποίμην δὲ πρὸς τὸ ναυαρχεῖν, Ἀν-

νίβας δὲ πρὸς τὸ δημηγορεῖν, οὐκ ἔχει παραίτησιν ἁμαρτάνων· ἀλλὰ προσακούει τὸ τοῦ Εὐριπίδου·

‘Τέκτων γὰρ ὢν ἔπραττες οὐ ξυλουργικά·’

λέγειν ἀπίθανος ὢν ἐπρέσβευες, ἢ ῥᾴθυμος ὢν ᾠκονόμεις, ψήφων ἄπειρος ἐταμίευες, ἢ γέρων καὶ ἀσθενὴς ἐστρατήγεις. Περικλῆς δὲ καὶ πρὸς Κίμωνα διενείματο 10
τὴν δύναμιν, αὐτὸς μὲν ἄρχειν ἐν ἄστει, τὸν δὲ πληρώσαντα τὰς ναῦς τοῖς βαρβάροις πολεμεῖν· ἦν γὰρ ὁ μὲν πρὸς πολιτείαν, ὁ δὲ πρὸς πόλεμον εὐφυέστερος. ἐπαινοῦσι δὲ καὶ τὸν Ἀναφλύστιον Εὔβουλον, ὅτι πίστιν ἔχων ἐν τοῖς μάλιστα καὶ δύναμιν οὐδὲν τῶν Ἑλληνικῶν ἔπραξεν οὐδ᾽ ἐπὶ στρατηγίαν ἦλθεν, ἀλλ᾽ ἐπὶ τὰ χρήματα τάξας ἑαυτὸν ηὔξησε τὰς κοινὰς προσόδους καὶ μεγάλα τὴν πόλιν ἀπὸ τούτων ὠφέλησεν. Ἰφικράτης δὲ καὶ μελέτας λόγων ποιούμενος ἐν οἴκῳ πολλῶν παρόντων ἐχλευάζετο· καὶ γὰρ εἰ λογεὺς ἀγαθός, ἀλλὰ μὴ φαῦλος ἦν, ἔδει τὴν ἐν τοῖς ὅπλοις δόξαν ἀγαπῶντα τῆς σχολῆς ἐξίστασθαι τοῖς σοφισταῖς.

Σπουδῇ μέντοι καὶ προνοίᾳ περὶ τὰ κοινὰ καὶ 11
φροντίδι πρὸς ἅπασαν ἀρχὴν ἀεὶ διαμιλλητέον· ἂν μὲν ὦσι χαρίεντες, αὐτὸν ὑφηγούμενον ἃ δεῖ καὶ φράζοντα καὶ διδόντα χρῆσθαι τοῖς βεβουλευμένοις ὀρθῶς καὶ τὸ κοινὸν εὐδοκιμεῖν ὠφελοῦντα· ἐὰν δ᾽ ἐνῇ τις ἐκείνοις ὄκνος ἢ μέλλησις ἢ κακοήθεια πρὸς τὴν πρᾶξιν, οὕτω χρὴ παριέναι καὶ λέγειν αὐτὸν εἰς τοὺς πολλοὺς καὶ μὴ παραμελεῖν μηδὲ ὑφίεσθαι τῶν κοινῶν, ὡς οὐ προσῆκον ἄρχοντος ἑτέρου πολυπραγμονεῖν καὶ παραδιοικεῖν. ὁ γὰρ νόμος ἀεὶ τῷ τὰ δίκαια πράσσοντι καὶ γινώσκοντι τὰ συμφέροντα τὴν πρώτην τάξιν ἐν τῇ πολιτείᾳ δίδωσιν. ‘ἦν δέ τις’, φησίν, ‘ἐν τῷ στρα-

τεύματι Ξενοφῶν, οὔτε στρατηγὸς οὔτε λοχαγός', ἀλλὰ τῷ φρονεῖν τὰ δέοντα καὶ τολμᾶν αὑτὸν εἰς τὸ ἄρχειν
12 *καταστήσας διέσωσε τοὺς Ἕλληνας. καὶ τῶν Φιλοποίμενος ἔργων ἐπιφανέστατόν ἐστι τὸ Νάβιδος Μεσσήνην καταλαβόντος, οὐκ ἐθέλοντος δὲ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν βοηθεῖν ἀλλ' ἀποδειλιῶντος, αὐτὸν ὁρμήσαντα μετὰ τῶν προθυμοτάτων ἄνευ δόγματος ἐξελέσθαι τὴν πόλιν. οὐ μὴν διὰ μικρὰ δεῖ καὶ τὰ τυχόντα καινοτομεῖν, ἀλλ' ἐπὶ τοῖς ἀναγκαίοις, ὡς ὁ Φιλοποίμην, ἢ τοῖς καλοῖς, ὡς Ἐπαμεινώνδας, ἐπιβαλὼν τέτταρας μῆνας τῇ Βοιωταρχίᾳ παρὰ τὸν νόμον, ἐν οἷς εἰς τὴν Λακωνικὴν ἐνέβαλε καὶ τὰ περὶ Μεσσήνην ἔπραξεν· ὅπως κἂν ἀπαντᾷ τις ἐπὶ τούτῳ κατηγορία καὶ μέμψις, ἀπολογίαν τῆς αἰτίας τὴν ἀνάγκην ἔχωμεν ἢ παραμυθίαν τοῦ κινδύνου τὸ μέγεθος τῆς πράξεως καὶ τὸ κάλλος.*

XIV. Garrulitatis (muliebris, tonsorum, maleficorum) punitae exempla.

(Plutarch. de garrulitate c. 7. 11. 13. 14.)

1 *Σύλλας ἐπολιόρκει τὰς Ἀθήνας οὐκ ἔχων σχολὴν ἐνδιατρῖψαι χρόνον πολύν, 'ἐπεὶ πόνος ἄλλος ἔπειγεν', ἡρπακότος μὲν Ἀσίαν Μιθριδάτου, τῶν δὲ περὶ Μάριον αὖθις ἐν Ῥώμῃ κρατούντων. ἀλλὰ πρεσβυτῶν τινων ἐπὶ κουρείου διαλεγομένων, ὡς οὐ φυλάττεται τὸ Ἑπτάχαλκον καὶ κινδυνεύει τὸ ἄστυ κατ' ἐκεῖνο ληφθῆναι τὸ μέρος, ἀκούσαντες οἱ κατάσκοποι πρὸς τὸν Σύλλαν ἐξήγγειλαν. ὁ δ' εὐθὺς τὴν δύναμιν προσαγαγὼν περὶ μέσας νύκτας εἰσήγαγε τὸ στράτευμα, καὶ μικροῦ μὲν κατέσκαψε τὴν πόλιν, ἐνέπλησε δὲ φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι.*

χαλεπῶς δὲ πρὸς τοὺς Ἀθηναίους ἔσχε διὰ τοὺς λόγους 2
μᾶλλον ἢ διὰ τὰ ἔργα· κακῶς γὰρ αὐτὸν ἔλεγον καὶ τὴν Μετέλλαν ἀναπηδῶντες ἐπὶ τὰ τείχη καὶ σκώπτοντες·

'Συκάμινον ἔσθ' ὁ Σύλλας, ἀλφίτῳ πεπασμένον',

καὶ τοιαῦτα πολλὰ φλυαροῦντες ἐπεσπάσαντο κουφοτάτου πράγματος, λόγων, ὥς φησιν ὁ Πλάτων, βαρυτάτην ζημίαν. Τὴν δὲ Ῥωμαίων πόλιν ἐκώλυσεν 3
ἐλευθέραν γενέσθαι Νέρωνος ἀπαλλαγεῖσαν ἑνὸς ἀνδρὸς ἀδολεσχία. μία γὰρ ἦν νύξ, μεθ' ἣν ἔδει τὸν τύραννον ἀπολωλέναι, παρεσκευασμένων ἁπάντων· ὁ δὲ μέλλων αὐτὸν ἀποκτιννύναι, πορευόμενος εἰς θέατρον, ἰδών τινα τῶν δεδεμένων ἐπὶ θύραις μέλλοντα προσάγεσθαι Νέρωνι καὶ τὴν αὑτοῦ τύχην ἀποδυρόμενον ἐγγὺς προσῆλθεν αὐτῷ καὶ προσψιθυρίσας· 'Εὔχου', φησίν, 'ὦ ἄνθρωπε, τὴν σήμερον ἡμέραν παρελθεῖν μόνον, αὔριον δέ μοι εὐχαριστήσεις.' ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος καὶ νοήσας, οἶμαι, ὅτι

'Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει',

τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν πρὸ τῆς δικαιοτέρας. ἐμήνυσε γὰρ τῷ Νέρωνι τὴν φωνὴν τοῦ ἀνθρώπου· κἀκεῖνος εὐθὺς ἀνήρπαστο, καὶ βάσανοι καὶ πῦρ καὶ μάστιγες ἐπ' αὐτὸν ἀρνούμενον πρὸς τὴν ἀνάγκην, ἃ χωρὶς ἀνάγκης ἐμήνυσεν.

Ἡ Ῥωμαίων σύγκλητος ἀπόρρητόν τινα βουλὴν 4
ἐβουλεύετο καθ' αὑτὴν ἐπὶ πολλὰς ἡμέρας· ἀσάφειαν δὲ πολλὴν καὶ ὑπόνοιαν ἔχοντος τοῦ πράγματος, γυνὴ τἄλλα σώφρων, γυνὴ δέ, προσέκειτο τῷ ἑαυτῆς ἀνδρὶ λιπαρῶς δεομένη πυθέσθαι τὸ ἀπόρρητον· ὅρκοι δὲ καὶ κατάραι περὶ σιωπῆς ἐγίγνοντο καὶ δάκρυα ποτνιωμένης αὐτῆς ὡς πίστιν οὐκ ἐχούσης. ὁ δὲ Ῥωμαῖος

*ἐξελέγξαι βουλόμενος αὐτῆς τὴν ἀβελτηρίαν· 'Νικᾷς,
ὦ γύναι', εἶπεν· 'ἀλλ' ἄκουε φοβερὸν πρᾶγμα καὶ τε-
ράστιον· προσήγγελται γὰρ ἡμῖν ὑπὸ τῶν ἱερέων κό-
ρυδον ὦφθαι πετόμενον, κράνος ἔχοντα χρυσοῦν καὶ
δόρυ· σκεπτόμεθα δὴ τὸ τέρας, εἴτε χρηστὸν εἴτε φαῦ-
λόν ἐστι, καὶ συνδιαποροῦμεν τοῖς μάντεσιν· ἀλλὰ
5 σιώπα.' ταῦτα εἰπὼν ᾤχετο εἰς τὴν ἀγοράν· ἡ δὲ τῶν
θεραπαινίδων μίαν εὐθὺς ἐφελκυσαμένη τὴν πρώτην
εἰσελθοῦσαν ἔπαιε τὸ στῆθος αὐτῆς καὶ τὰς τρίχας
ἐσπάραττεν· 'Οἴμοι', λέγουσα, 'τοῦ ἀνδρὸς καὶ τῆς
πατρίδος· τί πεισόμεθα;' βουλομένη καὶ διδάσκουσα
τὴν θεράπαιναν εἰπεῖν· 'Τί γὰρ γέγονεν;' ὡς δ' οὖν
πυθομένης διηγήσατο καὶ προσέθηκε τὸν κοινὸν ἁπάσης
ἀδολεσχίας ἐπῳδόν, τὸ 'Ταῦτα μηδενὶ φράσῃς, ἀλλὰ
σιώπα·' οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαν
αὐτῆς, καὶ τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστα εἶδε
σχολάζουσαν, ἐμβάλλει τὸν λόγον· ἐκείνη δὲ τῷ ἐραστῇ
6 παραγενομένῳ πρὸς αὐτὴν ἔφρασεν. οὕτω δ' εἰς ἀγο-
ρὰν τοῦ διηγήματος ἐκκυλισθέντος, ὥστε προδραμεῖν
τὸν πλασάμενον τὴν φήμην, ἀπαντήσας τις αὐτῷ τῶν
γνωρίμων· ''Αρτίως', εἶπεν, 'οἴκοθεν εἰς ἀγορὰν κατα-
βαίνεις;' ''Αρτίως', ἔφη ἐκεῖνος. 'Οὐκοῦν οὐδὲν ἀκή-
κοας;' 'Γέγονε γάρ τι καινόν;' ''Αλλὰ κόρυδος ὦπται
πετόμενος, κράνος ἔχων χρυσοῦν καὶ δόρυ, καὶ μέλ-
λουσι περὶ τούτου σύγκλητον ἔχειν οἱ ἄρχοντες.' κἀ-
κεῖνος γελάσας· 'Φεῦ τοῦ τάχους', εἶπεν, 'ὦ γύναι, τὸ
7 καὶ φθάσαι με τὸν λόγον εἰς ἀγορὰν προϊόντα.' τοὺς
μὲν οὖν ἄρχοντας ἐντυχὼν ἀπήλλαξε τῆς ταραχῆς· τὴν
δὲ γυναῖκα τιμωρούμενος, ὡς οἴκαδε εἰσῆλθεν· ''Απ-
ώλεσάς με', εἶπεν, 'ὦ γύναι· τὸ γὰρ ἀπόρρητον ἐκ τῆς
ἐμῆς οἰκίας πεφώραται δεδημοσιωμένον· ὥστε μοι*

φευκτέον ἐστὶ τὴν πατρίδα διὰ τὴν σὴν ἀκρασίαν.' τρεπομένης δὲ πρὸς ἄρνησιν αὐτῆς καὶ λεγούσης· 'Οὐ γὰρ ταῦτα μετὰ τριακοσίων ἤκουσας;' 'Ποίων', ἔφη, 'τριακοσίων; σοῦ βιαζομένης ἐπλασάμην ἀποπειρώμενος.'

Οὗτος μὲν οὖν ἀσφαλῶς πάνυ καὶ μετ' εὐλαβείας, 8
ὥσπερ εἰς ἀγγεῖον σαθρὸν οὐκ οἶνον, οὐκ ἔλαιον, ἀλλ' ὕδωρ ἐγχέας, ἐπείρασε τὴν γυναῖκα. Φούλβιος δέ, ὁ Καίσαρος ἑταῖρος τοῦ Σεβαστοῦ, γέροντος ἤδη γεγονότος ἀκούσας ὀδυρομένου τὴν περὶ τὸν οἶκον ἐρημίαν καὶ ὅτι τῶν μὲν δυοῖν θυγατριδῶν αὐτοῦ ἀπολωλότων, Ποστουμίου δέ, ὃς ἔτι λοιπός ἐστιν, ἐκ διαβολῆς τινος ἐν φυγῇ ὄντος ἀναγκάζεται τὸν τῆς γυναικὸς υἱὸν ἐπεισάγειν τῇ διαδοχῇ τῆς ἡγεμονίας, καίπερ οἰκτείρων καὶ βουλευόμενος ἐκ τῆς ὑπερορίας ἀνακαλεῖσθαι τὸν θυγατριδοῦν — ταῦτα ὁ Φούλβιος ἀκούσας ἐξήνεγκε πρὸς τὴν ἑαυτοῦ γυναῖκα, πρὸς δὲ Λιβίαν ἐκείνη· Λιβία δὲ καθήψατο πικρῶς Καίσαρος, εἰ πάλαι ταῦτα ἐγνωκὼς οὐ μεταπέμπεται τὸν θυγατριδοῦν, ἀλλ' εἰς ἔχθραν καὶ πόλεμον αὐτὴν τῷ διαδόχῳ τῆς ἀρχῆς καθίστησιν. ἐλθόντος οὖν ἕωθεν, ὡς εἰώθει, τοῦ Φουλ- 9
βίου πρὸς αὐτὸν καὶ εἰπόντος· 'Χαῖρε, Καῖσαρ·' ''Υγίαινε', εἶπε, 'Φούλβιε.' κἀκεῖνος νοήσας ᾤχετο εὐθὺς ἀπιὼν οἴκαδε, καὶ τὴν γυναῖκα μεταπεμψάμενος '"Εγνωκεν', ἔφη, 'Καῖσαρ, ὅτι τὸ ἀπόρρητον οὐκ ἐσιώπησα· καὶ διὰ τοῦτο μέλλω ἀναιρεῖν ἐμαυτόν.' ἡ δὲ γυνή 'Δικαίως', εἶπεν, 'ὅτι μοι τοσοῦτον συνοικῶν χρόνον οὐκ ἔγνως οὐδ' ἐφυλάξω τὴν ἀκρασίαν· ἀλλ' ἔασον ἐμὲ προτέραν.' καὶ λαβοῦσα τὸ ξίφος ἑαυτὴν προανεῖλε τοῦ ἀνδρός.

Οἱ δὲ πλεῖστοι τῶν ἀδολέσχων οὐδ' αἰτίαν ἔχοντες 10
ἀπολλύουσιν αὐτούς. οἷον ἐν κουρείῳ τινὶ λόγων γι-

νομένων περὶ τῆς Διονυσίου τυραννίδος, ὡς ἀδαμαντίνη καὶ ἄρρηκτός ἐστι, γελάσας ὁ κουρεύς· 'Ταῦτα ὑμᾶς', ἔφη, 'περὶ Διονυσίου λέγειν, οὗ ἐγὼ παρ' ἡμέρας ὀλίγας ἐπὶ τοῦ τραχήλου τὸ ξυρὸν ἔχω;' ταῦτ'
11 *ἀκούσας ὁ Διονύσιος ἀνεσταύρωσεν αὐτόν. ἐπιεικῶς δὲ λάλον ἐστὶ τὸ τῶν κουρέων γένος· οἱ γὰρ ἀδολεσχότατοι προσρέουσι καὶ προσκαθίζουσιν, ὥστε αὐτοὺς ἀναπίμπλασθαι τῆς συνηθείας. χαριέντως γοῦν ὁ βασιλεὺς Ἀρχέλαος, ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον καὶ πυθομένου· 'Πῶς σε κείρω,*
12 *βασιλεῦ;' 'Σιωπῶν', ἔφη. κουρεὺς δὲ καὶ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν ἀπήγγειλε πρῶτος ἐν Πειραιεῖ πυθόμενος οἰκέτου τινὸς τῶν ἀποδεδρακότων ἐκεῖθεν. εἶτ' ἀφεὶς τὸ ἐργαστήριον εἰς ἄστυ συνέτεινε δρόμῳ,*

'Μή τις κῦδος ἄροιτο'

τὸν λόγον εἰς τὴν πόλιν ἐμβαλών,

'ὁ δὲ δεύτερος ἔλθοι.'

γενομένης δὲ ταραχῆς, ὡς εἰκός, εἰς ἐκκλησίαν ἀθροισθεὶς ὁ δῆμος ἐπὶ τὴν ἀρχὴν ἐβάδιζε τῆς φήμης. ἤγετο οὖν ὁ κουρεὺς καὶ ἀνεκρίνετο μηδὲ τοὔνομα τοῦ φράσαντος εἰδώς, ἀλλ' εἰς ἀνώνυμον καὶ ἄγνωστον ἀνα-
13 *φέρων τὴν ἀρχὴν πρόσωπον. ὀργὴ δὲ καὶ βοὴ τοῦ θεάτρου· 'Βασάνιζε καὶ στρέβλου τὸν ἀλάστορα·' 'πέπλασται ταῦτα καὶ συντέθειται·' 'τίς δ' ἄλλος ἤκουσε; τίς δ' ἐπίστευσεν;' ἐκομίσθη τροχός, κατετάθη ὁ ἄνθρωπος. ἐν τούτῳ παρῆσαν οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες, ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγότες. ἐσκεδάσθησαν οὖν πάντες ἐπὶ τὰ οἰκεῖα πένθη, καταλιπόντες ἐν τῷ τροχῷ τὸν ἄθλιον ἐνδεδεμένον. ὀψὲ δὲ λυθεὶς ἤδη πρὸς ἑσπέραν ἠρώτα τὸν δημόσιον, εἰ καὶ περὶ*

*Νικίου τοῦ στρατηγοῦ, ὃν τρόπον ἀπόλωλεν, ἀκηκόασιν.
οὕτως ἄμαχόν τι κακὸν καὶ ἀνουθέτητον ἡ συνήθεια
ποιεῖ τὴν ἀδολεσχίαν.*

Οὐκ ἔστι γλώσσης ῥεούσης ἐπίσχεσις οὐδὲ κολασμός. 14
*ἐν Λακεδαίμονι τῆς Χαλκιοίκου τὸ ἱερὸν ὤφθη σεσυ-
λημένον καὶ κειμένη ἔνδον κενὴ λάγηνος. ἦν οὖν
ἀπορία πολλῶν συνδεδραμηκότων· καί τις τῶν παρόν-
των ‘Εἰ βούλεσθε’, εἶπεν, ‘ἐγὼ φράσω ὑμῖν, ὅ μοι
παρίσταται περὶ τῆς λαγήνου. νομίζω γάρ’, ἔφη, ‘τοὺς
ἱεροσύλους ἐπὶ τηλικοῦτον ἐλθεῖν κίνδυνον κώνειον
ἐμπιόντας καὶ κομίζοντας οἶνον, ἵνα εἰ μὲν αὐτοῖς λα-
θεῖν ἐγγένοιτο, τῷ ἀκράτῳ ποθέντι σβέσαντες καὶ δια-
λύσαντες τὸ φάρμακον ἀπέλθοιεν ἀσφαλῶς, εἰ δ’ ἁλί-
σκοιντο, πρὸ τῶν βασάνων ὑπὸ τοῦ φαρμάκου ῥᾳδίως
καὶ ἀνωδύνως ἀποθάνοιεν.’ ταῦτ’ εἰπόντος αὐτοῦ τὸ
πρᾶγμα πλοκὴν ἔχον καὶ περινόησιν τοσαύτην οὐχ
ὑπονοοῦντος, ἀλλ’ εἰδότος ἐφαίνετο. καὶ περιστάντες
αὐτὸν ἀνέκριναν ἀλλαχόθεν ἄλλος· ‘Τίς εἶ;’ καὶ ‘τίς
σε οἶδε;’ καὶ ‘πόθεν ἐπίστασαι ταῦτα;’ καὶ τὸ πέρας
ἐλεγχόμενος οὕτως ὡμολόγησεν εἷς εἶναι τῶν ἱεροσύλων.
Οἱ δ’ Ἴβυκον ἀποκτείναντες οὐχ οὕτως ἑάλωσαν ἐν* 15
*θεάτρῳ καθήμενοι; καὶ γεράνων παραφανεισῶν, ἅμα
γέλωτι πρὸς ἀλλήλους ψιθυρίζοντες, ὡς αἱ Ἰβύκου
ἔκδικοι πάρεισιν. ἀκούσαντες γὰρ οἱ καθεζόμενοι πλη-
σίον, ἤδη πολὺν χρόνον τοῦ Ἰβύκου ὄντος ἀφανοῦς
καὶ ζητουμένου, ἐπελάβοντο τῆς φωνῆς καὶ προσήγ-
γειλαν τοῖς ἄρχουσιν. ἐλεγχθέντες δὲ οὕτως ἀπήχθη-
σαν, οὐχ ὑπὸ τῶν γεράνων κολασθέντες, ἀλλ’ ὑπὸ τῆς
αὑτῶν γλωσσαλγίας, ὥσπερ Ἐρινύος ἢ Ποινῆς, βια-
σθέντες ἐξαγορεῦσαι τὸν φόνον.*

XV. De senectute.

(Platon. de rep. I p. 327 A—329 D. cf. fasc. II p. 3.)

(Ad § 1: Glauco et Adimantus sunt fratres Platonis, Cephalus pater Lysiae, oratoris nobilissimi. — Dea, quam Socrates se coluisse dicit, est Bendis, cuius festa **Βενδίδεια** tum primum e Thracia Athenas allata sunt. Ad § 8: Respicit Polemarchus ad notissimum proverbium: ἧλιξ ἥλικα τέρπει.)

1 , Κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ
Ἀρίστωνος, προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν
ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν,
ἅτε νῦν πρῶτον ἄγοντες. καλὴ μὲν οὖν μοι καὶ ἡ
τῶν ἐπιχωρίων πομπὴ ἔδοξεν εἶναι, οὐ μέντοι ἧττον
ἐφαίνετο πρέπειν ἣν οἱ Θρᾷκες ἔπεμπον. προσευξά-
μενοι δὲ καὶ θεωρήσαντες ἀπῇμεν πρὸς τὸ ἄστυ. κατ-
ιδὼν οὖν πόρρωθεν ἡμᾶς οἴκαδε ὡρμημένους Πολέ-
μαρχος ὁ Κεφάλου ἐκέλευσε δραμόντα τὸν παῖδα
2 περιμεῖναί ἑ κελεῦσαι. καί μου ὄπισθεν ὁ παῖς λαβό-
μενος τοῦ ἱματίου ‘Κελεύει ὑμᾶς’, ἔφη, ‘Πολέμαρχος
περιμεῖναι.’ Καὶ ἐγὼ μετεστράφην τε καὶ ἠρόμην, ὅπου
αὐτὸς εἴη. ‘Οὗτος’, ἔφη, ‘ὄπισθεν προσέρχεται· ἀλλὰ
περιμένετε.’ ‘Ἀλλὰ περιμενοῦμεν’, ἦ δ’ ὃς ὁ Γλαύκων.
καὶ ὀλίγῳ ὕστερον ὅ τε Πολέμαρχος ἧκε καὶ Ἀδείμαν-
τος ὁ τοῦ Γλαύκωνος ἀδελφὸς καὶ Νικήρατος ὁ Νικίου
3 καὶ ἄλλοι τινές, ὡς ἀπὸ τῆς πομπῆς. ὁ οὖν Πολέ-
μαρχος ἔφη· ‘Ὦ Σώκρατες, δοκεῖτέ μοι πρὸς ἄστυ
ὡρμῆσθαι ὡς ἀπιόντες.’ ‘Οὐ γὰρ κακῶς δοξάζεις’, ἦν
δ’ ἐγώ. ‘Ὁρᾷς οὖν ἡμᾶς’, ἔφη, ‘ὅσοι ἐσμέν;’ ‘Πῶς
γὰρ οὔ;’ ‘Ἢ τοίνυν τούτων’, ἔφη, ‘κρείττους γένεσθε
ἢ μένετ’ αὐτοῦ.’ ‘Οὐκοῦν’, ἦν δ’ ἐγώ, ‘ἔτι ἐλλείπεται
τὸ ἢν πείσωμεν ὑμᾶς, ὡς χρὴ ἡμᾶς ἀφεῖναι;’ ‘Ἦ καὶ
δύναισθ’ ἄν’, ἦ δ’ ὅς, ‘πεῖσαι μὴ ἀκούοντας;’ ‘Οὐδα-

*μῶς', ἔφη ὁ Γλαύκων. 'Ὡς τοίνυν μὴ ἀκουσομένων,
οὕτω διανοεῖσθε.' Καὶ ὁ Ἀδείμαντος, 'Ἆρά γε', ἦ δ' 4
ὅς, 'οὐδ' ἴστε ὅτι λαμπὰς ἔσται πρὸς ἑσπέραν ἀφ' ἵπ-
πων τῇ θεῷ;' 'Ἀφ' ἵππων;' ἦν δ' ἐγώ· 'καινόν γε
τοῦτο. λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις ἁμιλ-
λώμενοι τοῖς ἵπποις; ἢ πῶς λέγεις;' 'Οὕτως', ἔφη ὁ
Πολέμαρχος· 'καὶ πρός γε παννυχίδα ποιήσουσιν, ἣν
ἄξιον θεάσασθαι. ἐξαναστησόμεθα γὰρ μετὰ τὸ δεῖπνον
καὶ τὴν παννυχίδα θεασόμεθα καὶ ξυνεσόμεθά τε πολ-
λοῖς τῶν νέων αὐτόθι καὶ διαλεξόμεθα. ἀλλὰ μένετε καὶ
μὴ ἄλλως ποιεῖτε.' Καὶ ὁ Γλαύκων 'Ἔοικεν', ἔφη, 'μενε-
τέον εἶναι.' 'Ἀλλ' εἰ δοκεῖ', ἦν δ' ἐγώ, 'οὕτω χρὴ ποιεῖν.'*

*Ἦιμεν οὖν οἴκαδε εἰς τοῦ Πολεμάρχου, καὶ Λυ- 5
σίαν τε αὐτόθι κατελάβομεν καὶ Εὐθύδημον, τοὺς τοῦ
Πολεμάρχου ἀδελφούς, καὶ δὴ καὶ Θρασύμαχον τὸν
Χαλκηδόνιον καὶ Χαρμαντίδην τὸν Παιανιέα καὶ Κλει-
τοφῶντα τὸν Ἀριστωνύμου· ἦν δ' ἔνδον καὶ ὁ πατὴρ
ὁ τοῦ Πολεμάρχου Κέφαλος. καὶ μάλα πρεσβύτης μοι
ἔδοξεν εἶναι· διὰ χρόνου γὰρ καὶ ἑωράκη αὐτόν. καθ-
ῆστο δὲ ἐστεφανωμένος ἐπί τινος προσκεφαλαίου τε
καὶ δίφρου· τεθυκὼς γὰρ ἐτύγχανεν ἐν τῇ αὐλῇ. ἐκαθ- 6
εζόμεθα οὖν παρ' αὐτόν· ἔκειντο γὰρ δίφροι τινὲς
αὐτόθι κύκλῳ. εὐθὺς οὖν με ἰδὼν ὁ Κέφαλος ἠσπά-
ζετό τε καὶ εἶπεν· 'Ὦ Σώκρατες, οὐδὲ θαμίζεις ἡμῖν
καταβαίνων εἰς τὸν Πειραιᾶ· χρῆν μέντοι. εἰ μὲν γὰρ
ἐγὼ ἔτι ἐν δυνάμει ἦν τοῦ ῥᾳδίως πορεύεσθαι πρὸς
τὸ ἄστυ, οὐδὲν ἄν σε ἔδει δεῦρο ἰέναι, ἀλλ' ἡμεῖς ἂν
παρὰ σὲ ᾖμεν· νῦν δὲ σὲ χρὴ πυκνότερον δεῦρο ἰέναι·
ὡς εὖ ἴσθι ὅτι ἔμοιγε, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ
ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λό-
γους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει,*

4*

ἀλλὰ τοῖσδέ τε τοῖς νεανίαις ξύνισθι καὶ δεῦρο παρ'
ἡμᾶς φοίτα ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους.'
7 'Καὶ μήν', ἦν δ' ἐγώ, 'ὦ Κέφαλε, χαίρω γε διαλεγό-
μενος τοῖς σφόδρα πρεσβύταις· δοκεῖ γάρ μοι χρῆναι
παρ' αὐτῶν πυνθάνεσθαι, ὥσπερ τινὰ ὁδὸν προεληλυ-
θότων, ἣν καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ποίᾳ τίς
ἐστι, τραχεῖα καὶ χαλεπή, ἢ ῥᾳδία καὶ εὔπορος· καὶ
δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην, ὅ τι σοι φαίνεται
τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ ἐπὶ
γήραος οὐδῷ φασιν εἶναι οἱ ποιηταί, πότερον χαλεπὸν
8 τοῦ βίου ἢ πῶς σὺ αὐτὸ ἐξαγγέλλεις.' ''Εγώ σοι',
ἔφη, 'νὴ τὸν Δία ἐρῶ, ὦ Σώκρατες, οἷόν γέ μοι φαί-
νεται. πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταὐτὸ
παραπλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες τὴν παλαιὰν
παροιμίαν. οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνόν-
τες, τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες καὶ ἀναμι-
μνησκόμενοι περί τε τἀφροδίσια καὶ περὶ πότους καὶ
εὐωχίας καὶ ἄλλ' ἄττα ἃ τῶν τοιούτων ἔχεται, καὶ ἀγα-
νακτοῦσιν, ὡς μεγάλων τινῶν ἀπεστερημένοι καὶ τότε
9 μὲν εὖ ζῶντες, νῦν δὲ οὐδὲ ζῶντες· ἔνιοι δὲ καὶ τὰς
τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ
ἐπὶ τούτῳ δὴ τὸ γῆρας ὑμνοῦσιν ὅσων κακῶν σφίσιν
αἴτιον. ἐμοὶ δὲ δοκοῦσιν, ὦ Σώκρατες, οὗτοι οὐ τὸ
αἴτιον αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτ' αἴτιον, κἂν ἐγὼ τὰ
αὐτὰ ταῦτα ἐπεπόνθη ἕνεκά γε γήρως καὶ οἱ ἄλλοι
πάντες, ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. νῦν δ' ἔγωγε
ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσι καὶ ἄλλοις καὶ δὴ
καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ
10 ὑπό τινος· "Πῶς", ἔφη, "ὦ Σοφόκλεις, ἔχεις πρὸς
τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι;" Καὶ
ὅς, "Εὐφήμει", ἔφη, "ὦ ἄνθρωπε· ἀσμεναίτατα μέντοι

αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών." Εὖ οὖν μοι καὶ τότε ἔδοξεν ἐκεῖνος εἰπεῖν καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία, ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσι, παντάπασι τὸ τοῦ Σοφοκλέους γίγνεται· δεσποτῶν πάνυ πολλῶν ἔστι καὶ μαινομένων ἀπηλλάχθαι. ἀλλὰ καὶ τούτων πέρι καὶ τῶν γε πρὸς τοὺς οἰκείους μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ ξυμβαίνει.'

XVI. Quanti sint in re publica senum gravitas et consilium aestimanda.

(Plutarch. an seni sit gerenda resp. c. 10. 11. cf. fasc. IV p. 22.)

Τί οὖν; φήσαι τις ἄν, οὐκ ἀκούομεν ἐν κωμῳδίᾳ 1
στρατιώτου λέγοντος·

'Λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ;'

πάνυ μὲν οὖν, ὦ ἑταῖρε· τοὺς γὰρ Ἄρεος θεράποντας ἡβᾶν πρέπει καὶ ἀκμάζειν οἷα δὴ 'πόλεμον πολέμοιό τε μέρμερα ἔργα διέποντας', ἐν οἷς τοῦ γέροντος κἂν τὸ κράνος ἀποκρύψῃ τὰς πολιάς, 'ἀλλά τε λάθρῃ γυῖα βαρύνεται' καὶ προαπολείπει τῆς προθυμίας ἡ δύναμις·
τοὺς δὲ τοῦ Βουλαίου καὶ Ἀγοραίου καὶ Πολιέως Διὸς 2
ὑπηρέτας οὐ ποδῶν ἔργα καὶ χειρῶν ἀπαιτοῦμεν, ἀλλὰ βουλῆς καὶ προνοίας καὶ λόγου, μὴ ῥαχίαν ποιοῦντος ἐν δήμῳ καὶ ψόφον, ἀλλὰ νοῦν ἔχοντος καὶ φροντίδα πεπνυμένην καὶ ἀσφάλειαν· οἷς ἡ γελωμένη πολιὰ καὶ ῥυτὶς ἐμπειρίας μάρτυς ἐπιφαίνεται καὶ πειθοῦς συνερ-

3 γὸν αὐτοῖς δόξαν ἤθους προστίθησι. πειθαρχικὸν γὰρ ἡ νεότης, ἡγεμονικὸν δὲ τὸ γῆρας, καὶ μάλιστα σῴζεται πόλις,

'Ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύουσιν αἰχμαί·'

καὶ τὸ

'Βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεστορέῃ παρὰ νηΐ'

4 θαυμαστῶς ἐπαινεῖται. διὸ τὴν μὲν ἐν Λακεδαίμονι παραζευχθεῖσαν ἀριστοκρατίαν τοῖς βασιλεῦσιν ὁ Πύθιος Πρεσβυγενέας, ὁ δὲ Λυκοῦργος ἄντικρυς Γερουσίαν ὠνόμασεν· ἡ δὲ 'Ρωμαίων σύγκλητος ἄχρι νῦν γερουσία καλεῖται. καὶ καθάπερ ὁ νόμος τὸ διάδημα καὶ τὸν στέφανον, οὕτω τὴν πολιὰν ἡ φύσις ἔντιμον ἡγεμονικοῦ σύμβολον ἀξιώματος ἐπιτίθησι. καὶ τὸ γέρας, οἶμαι, καὶ τὸ γεραίρειν ὄνομα σεμνὸν ἀπὸ τῶν γερόντων γενόμενον διαμένει, οὐχ ὅτι θερμολουτοῦσι καὶ καθεύδουσι μαλακώτερον, ἀλλ' ὡς βασιλικὴν ἐχόντων τάξιν ἐν ταῖς πόλεσι κατὰ τὴν φρόνησιν, ἧς, καθάπερ ὀψικάρπου φυτοῦ, τὸ οἰκεῖον ἀγαθὸν καὶ τέλειον ἐν
5 γήρᾳ μόλις ἡ φύσις ἀποδίδωσι. τὸν γοῦν βασιλέα τῶν βασιλέων εὐχόμενον τοῖς θεοῖς·

'Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν 'Αχαιῶν',

οἷος ἦν ὁ Νέστωρ, οὐδεὶς ἐμέμψατο 'τῶν ἀρηΐων καὶ μένεα πνεόντων 'Αχαιῶν', ἀλλὰ συνεχώρουν ἅπαντες οὐκ ἐν πολιτείᾳ μόνον, ἀλλὰ καὶ ἐν πολέμῳ μεγάλην ἔχειν ῥοπὴν τὸ γῆρας.

'Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ',

καὶ μία γνώμη λόγον ἔχουσα καὶ πειθὼ τὰ κάλλιστα καὶ μέγιστα διαπράττεται τῶν κοινῶν.

Ἀλλὰ μὴν ἥ γε βασιλεία τελειοτάτη πασῶν οὖσα 6
καὶ μεγίστη τῶν πολιτειῶν πλείστας φροντίδας ἔχει
καὶ πόνους καὶ ἀσχολίας· τὸν γοῦν Σέλευκον ἑκάστοτε
λέγειν ἔφασαν, εἰ γνοῖεν οἱ πολλοί, τὸ γράφειν μόνον
ἐπιστολὰς τοσαύτας καὶ ἀναγινώσκειν ὡς ἐργῶδές ἐστιν,
ἐρριμμένον οὐκ ἂν ἀνελέσθαι διάδημα· τὸν δὲ Φίλιππον
ἐν καλῷ χωρίῳ μέλλοντα καταστρατοπεδεύειν, ὡς ἤκου-
σεν, ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις· ‛Ὦ Ἡρά-
κλεις', εἰπεῖν, ‛οἷος ἡμῶν ὁ βίος, εἰ καὶ πρὸς τὸν τῶν
ὄνων καιρὸν ὀφείλομεν ζῆν.' ὥρα τοίνυν καὶ βασιλεῖ 7
παραινεῖν πρεσβύτῃ γενομένῳ τὸ μὲν διάδημα κατα-
θέσθαι καὶ τὴν πορφύραν, ἱμάτιον δ' ἀναλαβόντα καὶ
καμπύλην ἐν ἀγρῷ διατρίβειν, μὴ δοκῇ περίεργα καὶ
ἄωρα πράττειν ἐν πολιαῖς βασιλεύων; εἰ δ' οὐκ ἄξιον
ταῦτα λέγειν περὶ Ἀγησιλάου καὶ Νουμᾶ καὶ Δαρείου,
μηδὲ τῆς ἐξ Ἀρείου πάγου βουλῆς Σόλωνα μηδὲ τῆς
συγκλήτου Κάτωνα διὰ τὸ γῆρας ἐξάγωμεν, οὔκουν
μηδὲ Περικλεῖ συμβουλεύωμεν ἐγκαταλιπεῖν τὴν δημο-
κρατίαν· οὐδὲ γὰρ ἄλλως λόγον ἔχει νέον ὄντα κατα-
σκιρτῆσαι τοῦ βήματος, εἶτ' ἐκχέαντα τὰς μανικὰς
ἐκείνας φιλοτιμίας καὶ ὁρμὰς εἰς τὸ δημόσιον, ὅταν ἡ
τὸ φρονεῖν ἐπιφέρουσα δι' ἐμπειρίαν ἡλικία παραγέ-
νηται, προέσθαι καὶ καταλιπεῖν.

XVII. Quae in re publica administranda senum sit provincia, qua ratione ab his adulescentes docendi sint.

(Plutarch. an seni sit gerenda resp. c. 21—24.)

Οὕτω δέ πως καὶ λόγῳ χρηστέον ἐν ἐκκλησίᾳ πρε- 1
σβύτην γενόμενον, μὴ ἐπιπηδῶντα συνεχῶς τῷ βήματι
μηδ' ἀεὶ δίκην ἀλεκτρυόνος ἀντᾴδοντα τοῖς φθεγγο-

μένοις μηδὲ τῷ συμπλέκεσθαι καὶ διερεθίζειν ἀποχαλινοῦντα τὴν πρὸς αὐτὸν αἰδῶ τῶν νέων μηδὲ μελέτην ἐμποιοῦντα καὶ συνήθειαν ἀπειθείας καὶ δυσηκοΐας, ἀλλὰ καὶ παριέντα ποτὲ καὶ διδόντα πρὸς δόξαν ἀναχαιτίσαι καὶ θρασύνεσθαι, μηδὲ παρόντα μηδὲ πολυπραγμονοῦντα, ὅπου γε μὴ μέγα τὸ κινδυνευόμενόν ἐστι πρὸς σωτηρίαν κοινὴν ἢ τὸ καλὸν καὶ πρέπον.
2 ἐκεῖ δὲ χρὴ καὶ μηδενὸς καλοῦντος ὠθεῖσθαι δρόμῳ παρὰ δύναμιν, ἀναθέντα χειραγωγοῖς αὑτὸν ἢ φοράδην κομιζόμενον· ὥσπερ ἱστοροῦσιν ἐν Ῥώμῃ Κλαύδιον Ἄππιον· ἡττημένων γὰρ ὑπὸ Πύρρου μάχῃ μεγάλῃ, πυθόμενος τὴν σύγκλητον ἐνδέχεσθαι λόγους περὶ σπονδῶν καὶ εἰρήνης οὐκ ἀνασχετὸν ἐποιήσατο καίπερ ἀμφοτέρας ἀποβεβληκὼς τὰς ὄψεις, ἀλλὰ ἧκε δι᾽ ἀγορᾶς φερόμενος πρὸς τὸ βουλευτήριον· εἰσελθὼν δὲ καὶ καταστὰς εἰς μέσον ἔφη πρότερον μὲν ἄχθεσθαι τῷ τῶν ὀμμάτων στέρεσθαι, νῦν δ᾽ ἂν εὔξασθαι μηδ᾽ ἀκούειν οὕτως αἰσχρὰ καὶ ἀγεννῆ βουλευομένους καὶ πράττοντας ἐκείνους. ἐκ δὲ τούτου τὰ μὲν καθαψάμενος αὐτῶν, τὰ δὲ διδάξας καὶ παρορμήσας ἔπεισεν εὐθὺς ἐπὶ τὰ ὅπλα χωρεῖν καὶ διαγωνίζεσθαι περὶ τῆς
3 Ἰταλίας πρὸς τὸν Πύρρον. ὁ δὲ Σόλων, τῆς Πεισιστράτου δημαγωγίας ὅτι τυραννίδος ἦν μηχάνημα φανερᾶς γενομένης, μηδενὸς ἀμύνεσθαι μηδὲ κωλύειν τολμῶντος, αὐτὸς ἐξενεγκάμενος τὰ ὅπλα καὶ πρὸ τῆς οἰκίας θέμενος ἠξίου βοηθεῖν τοὺς πολίτας· πέμψαντος δὲ τοῦ Πεισιστράτου πρὸς αὐτὸν καὶ πυνθανομένου, τίνι πεποιθὼς ταῦτα πράττει· 'Τῷ γήρᾳ', εἶπεν.

4 Ἀλλὰ τὰ μὲν οὕτως ἀναγκαῖα καὶ τοὺς ἀπεσβηκότας κομιδῇ γέροντας, ἂν μόνον ἐμπνέωσιν, ἐξάπτει καὶ διανίστησιν· ἐν δὲ τοῖς ἄλλοις ποτὲ μέν, ὥσπερ εἴρηται,

παραιτούμενος ἐμμελὴς ἔσται τὰ γλίσχρα καὶ διακονικὰ καὶ μείζονας ἔχοντα τοῖς πράττουσιν ἀσχολίας ἢ δι' οὓς πράττεται χρείας καὶ ὠφελείας· ἔστι δὲ ὅπου περιμένων καλέσαι καὶ ποθῆσαι καὶ μετελθεῖν οἴκοθεν τοὺς πολίτας ἀξιοπιστότερος δεομένοις κάτεισι. τὰ δὲ πλεῖστα 5
καὶ παρὼν σιωπῇ τοῖς νεωτέροις λέγειν παρίησιν, οἷον βραβεύων φιλοτιμίας πολιτικῆς ἅμιλλαν· ἐὰν δὲ ὑπερβάλλῃ τὸ μέτριον, καθαπτόμενος ἠπίως καὶ μετὰ εὐμενείας ἀφαιρῶν φιλονεικίας καὶ βλασφημίας καὶ ὀργάς, ἐν δὲ ταῖς γνώμαις τὸν ἁμαρτάνοντα παραμυθούμενος ἄνευ ψόγου καὶ διδάσκων, ἐπαινῶν δ' ἀφόβως τὸν κατορθοῦντα, καὶ νικώμενος ἑκουσίως καὶ προϊέμενος τὸ πεῖσαι καὶ περιγενέσθαι πολλάκις, ὅπως αὔξάνωνται καὶ θαρσῶσιν, ἐνίοις δὲ καὶ συναναπληρῶν μετ' εὐφημίας τὸ ἐλλεῖπον, ὡς ὁ Νέστωρ·

'Οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι 'Αχαιῶν,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης.'

Τούτου δὲ πολιτικώτερον, μὴ μόνον ἐμφανῶς μηδὲ 6
δημοσίᾳ ὀνειδίζων ἄνευ δηγμοῦ σφόδρα κολούοντος καὶ ταπεινοῦντος, ἀλλὰ μᾶλλον ἰδίᾳ τοῖς εὖ πεφυκόσι πρὸς πολιτείαν ὑποτιθέμενος καὶ συνεισηγούμενος εὐμενῶς λόγους τε χρηστοὺς καὶ πολιτεύματα, συνεξορμῶν πρὸς τὰ καλὰ καὶ συνεπιλαμπρύνων τὸ φρόνημα, καὶ παρέχων, ὥσπερ οἱ διδάσκοντες ἱππεύειν, ἐν ἀρχῇ χειροήθη καὶ πρᾷον ἐπιβῆναι τὸν δῆμον· εἰ δέ τι σφαλείη, μὴ περιορῶν ἐξαθυμοῦντα τὸν νέον, ἀλλ' ἀνιστὰς καὶ παραμυθούμενος, ὡς 'Αριστείδης Κίμωνα καὶ Μνησίφιλος Θεμιστοκλέα, δυσχεραινομένους καὶ κακῶς ἀκούοντας ἐν τῇ πόλει τὸ πρῶτον ὡς ἰταμοὺς καὶ ἀκολάστους, ἐπῆραν καὶ ἀνεθάρρυναν. λέγεται δὲ 7

καὶ Δημοσθένους ἐκπεσόντος ἐν τῷ δήμῳ καὶ βαρέως φέροντος ἅψασθαι παλαιόν τινα γέροντα τῶν ἀκηκοότων Περικλέους καὶ εἰπεῖν, ὡς ἐκείνῳ τἀνδρὶ προσεοικὼς τὴν φύσιν οὐ δικαίως αὑτοῦ κατέγνωκεν. οὕτω δὲ καὶ Τιμόθεον Εὐριπίδης συριττόμενον ἐπὶ τῇ καινοτομίᾳ καὶ παρανομεῖν εἰς τὴν μουσικὴν δοκοῦντα θαρρεῖν ἐκέλευσεν ὡς ὀλίγου χρόνου τῶν θεάτρων ὑπ' αὐτῷ γενησομένων.

8 *Καθόλου δέ, ὥσπερ ἐν Ῥώμῃ ταῖς Ἑστιάσι παρθένοις τοῦ χρόνου διώρισται τὸ μὲν μανθάνειν, τὸ δὲ δρᾶν τὰ νενομισμένα, τὸ δὲ τρίτον ἤδη διδάσκειν· καὶ τῶν ἐν Ἐφέσῳ περὶ τὴν Ἄρτεμιν ὁμοίως ἑκάστην Μελλιέρην τὸ πρῶτον, εἶθ' Ἱέρην, τὸ δὲ τρίτον Παριέρην καλοῦσιν· οὕτως ὁ τελέως πολιτικὸς ἀνὴρ τὰ μὲν πρῶτα μανθάνων ἔτι πολιτεύεται καὶ μυούμενος, τὰ δ' ἔσχατα*
9 *διδάσκων καὶ μυσταγωγῶν. τὸ μὲν γὰρ ἐπιστατεῖν ἀθλοῦσιν ἑτέροις οὐκ ἔστιν αὐτὸν ἀθλεῖν· ὁ δὲ παιδοτριβῶν νέον ἐν πράγμασι κοινοῖς καὶ δημοσίοις ἀγῶσι καὶ παρασκευάζων τῇ πατρίδι*

'Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων'

ἐν οὐ μικρῷ μέρει πολιτείας οὐδὲ φαύλῳ χρήσιμός ἐστιν, ἀλλ' εἰς ὃ μάλιστα καὶ πρῶτον ὁ Λυκοῦργος ἐντείνας ἑαυτὸν εἴθισε τοὺς νέους, παντὶ πρεσβύτῃ
10 *καθάπερ νομοθέτῃ πειθομένους διατελεῖν. ἐπεὶ πρὸς τί βλέψας ὁ Λύσανδρος εἶπεν, ὡς ἐν Λακεδαίμονι κάλλιστα γηρῶσιν; ἆρ' ὅτι γεωργεῖν ἔξεστι μάλιστα τοῖς πρεσβυτέροις ἐκεῖ καὶ δανείζειν ἢ κυβεύειν συγκαθεζομένους ἢ πίνειν ἐν ὥρᾳ συνάγοντας; οὐκ ἂν εἴποις· ἀλλ' ὅτι τρόπον τινὰ πάντες οἱ τηλικοῦτοι τάξιν ἀρχόντων ἢ τινων πατρονόμων ἢ παιδαγωγῶν ἔχοντες οὐ τὰ κοινὰ μόνον ἐπισκοποῦσιν, ἀλλὰ καὶ τῶν νέων*

ἕκαστα ἀεὶ περί τε τὰ γυμνάσια καὶ παιδιὰς καὶ διαίτας καταμανθάνουσιν οὐ παρέργως, φοβεροὶ μὲν ὄντες τοῖς ἁμαρτάνουσιν, αἰδεστοὶ δὲ τοῖς ἀγαθοῖς καὶ ποθεινοί· θεραπεύουσι γὰρ ἀεὶ καὶ διώκουσιν αὐτοὺς οἱ νέοι τὸ κόσμιον καὶ τὸ γενναῖον αὔξοντας καὶ συνεπιγαυροῦντας ἄνευ φθόνου.

XVIII. Iniuste pro maiorum delictis poenas exigi.

(Plutarch. de sera numinis vindicta c. 12.)

Ἃ Εὐριπίδης ἐγκαλεῖ καὶ παρρησιάζεται πρὸς τοὺς 1
θεοὺς τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐγγόνους
τρέποντας, αἰτιᾶσθαι νόμιζε καὶ τοὺς σιωπῶντας ἡμῶν.
εἴτε γὰρ οἱ δράσαντες αὐτοὶ δίκην ἔδοσαν, οὐδὲν ἔτι
δεῖ κολάζειν τοὺς μὴ ἀδικήσαντας, ὅπου δὶς ἐπὶ τοῖς
αὐτοῖς οὐδὲ τοὺς δράσαντας δίκαιον· εἴτε ῥᾳθυμίᾳ
καταπροέμενοι τὴν τιμωρίαν ἐν τοῖς πονηροῖς ὀψὲ παρὰ
τῶν ἀναιτίων εἰσπράττουσιν, οὐκ εὖ τῷ ἀδίκως τὸ
βραδέως ἀναλαμβάνουσιν. οἷον ἐνταῦθα δήπουθεν λέ- 2
γεται ἐλθεῖν Αἴσωπον ἔχοντα παρὰ Κροίσου χρυσίον,
ὅπως τε θύσηται τῷ θεῷ μεγαλοπρεπῶς καὶ Δελφῶν
ἑκάστῳ διανείμῃ μνᾶς τέσσαρας. ὀργῆς δέ τινος, ὡς
ἔοικε, καὶ διαφορᾶς αὐτῷ γενομένης πρὸς τοὺς αὐτόθι
τὴν μὲν θυσίαν ἐποιήσατο, τὰ δὲ χρήματα ἀνέπεμψεν
εἰς Σάρδεις, ὡς οὐκ ἀξίων ὄντων ὠφεληθῆναι τῶν
ἀνθρώπων· οἱ δὲ συνθέντες αἰτίαν ἐπ' αὐτὸν ἱεροσυ-
λίας ἀπέκτειναν ὤσαντες ἀπὸ τῆς πέτρας ἐκείνης, ἣν
Ὑάμπειαν καλοῦσιν. ἐκ δὲ τούτου λέγεται μηνῖσαι τὸ 3
θεῖον αὐτοῖς ἀφορίαν τε γῆς ἐπαγαγεῖν καὶ νόσων
ἀτόπων ἰδέαν πᾶσαν, ὥστε περιιόντας ἐν ταῖς Ἑλλη-
νικαῖς πανηγύρεσι κηρύσσειν καὶ καλεῖν ἀεὶ τὸν βου-

λόμενον ὑπὲρ Αἰσώπου δίκην λαβεῖν παρ' αὐτῶν. τρίτῃ δὲ γενεᾷ Σάμιος Ἰάδμων ἀφίκετο, γένει μὲν οὐδὲν Αἰσώπου προσήκων, ἀπόγονος δὲ τῶν πριαμένων αὐτὸν ἐν Σάμῳ γεγονώς· καὶ τούτῳ τινὰς δίκας δόντες οἱ Δελφοὶ τῶν κακῶν ἀπηλλάγησαν. ἐξ ἐκείνου δέ φασι καὶ τὴν τιμωρίαν τῶν ἱεροσύλων ἐπὶ τὴν Ναυπλίαν
4 ἀπὸ τῆς Ὑαμπείας μετατεθῆναι. Καὶ τὸν Ἀλέξανδρον οὐδὲ οἱ πάνυ φιλοῦντες, ὧν ἐσμεν καὶ ἡμεῖς, ἐπαινοῦσι τὸ Βραγχιδῶν ἄστυ συγχέαντα καὶ διαφθείραντα πᾶσαν ἡλικίαν διὰ τὴν γενομένην τοῦ περὶ Μίλητον ἱεροῦ
5 προδοσίαν ὑπὸ τῶν προπάππων αὐτῶν. Ἀγαθοκλῆς δέ, ὁ Συρακουσίων τύραννος, καὶ σὺν γέλωτι χλευάζων Κερκυραίους ἐρωτῶντας, διὰ τί πορθοίη τὴν νῆσον αὐτῶν· 'Ὅτι νὴ Δία', εἶπεν, 'οἱ πατέρες ὑμῶν ὑπεδέξαντο τὸν Ὀδυσσέα.' καὶ τῶν Ἰθακησίων ὁμοίως ἐγκαλούντων, ὅτι πρόβατα λαμβάνουσιν αὐτῶν οἱ στρατιῶται· 'Ὁ δὲ ὑμέτερος', ἔφη, 'βασιλεὺς ἐλθὼν πρὸς
6 ἡμᾶς καὶ τὸν ποιμένα προσεξετύφλωσεν.' ἆρ' οὖν οὐκ ἀτοπώτερος τούτων ὁ Ἀπόλλων, εἰ Φενεάτας ἀπόλλυσι τοὺς νῦν ἐμφράξας τὸ βάραθρον καὶ κατακλύσας τὴν χώραν ἅπασαν αὐτῶν, ὅτι πρὸ χιλίων ἐτῶν, ὥς φασιν, ὁ Ἡρακλῆς ἀνασπάσας τὸν τρίποδα τὸν μαντικὸν εἰς Φενεὸν ἀπήνεγκε; Συβαρίταις δὲ φράζων ἀπόλυσιν τῶν κακῶν, ὅταν τρισὶν ὀλέθροις ἱλάσωνται τὸ μήνιμα τῆς Λευκαδίας Ἥρας; καὶ μὴν οὐ πολὺς χρόνος, ἀφ' οὗ Λοκροὶ πέμποντες εἰς Τροίαν πέπαυνται τὰς παρθένους,

'Αἳ καὶ ἀναμπέχονοι γυμνοῖς ποσίν, ἠΰτε δοῦλαι,
ἠοῖαι σαίρεσκον Ἀθηναίης περὶ βωμὸν
νόσφι κρηδέμνοιο, καὶ εἰ βαρὺ γῆρας ἱκάνοι',

7 διὰ τὴν Αἴαντος ἀκολασίαν. ποῦ δὴ ταῦτα τὸ εὔλογον

ἴσχει καὶ δίκαιον; οὐδὲ γὰρ Θρᾷκας ἐπαινοῦμεν, ὅτι στίζουσιν ἄχρι νῦν τιμωροῦντες τῷ Ὀρφεῖ τὰς αὑτῶν γυναῖκας· οὐδὲ τοὺς περὶ Ἠριδανὸν βαρβάρους μελανοφοροῦντας ἐπὶ πένθει τοῦ Φαέθοντος, ὥσπερ λέγουσιν. ἔτι δ' ἄν, οἶμαι, γελοιότερον ἦν, εἰ, τῶν τότ' ἀνθρώπων, ὅτε διεφθάρη Φαέθων, παραμελησάντων, οἱ πέντε γενεαῖς ἢ δέκα τοῦ πάθους ὕστερον γεγονότες ἤρξαντο τὴν ἐσθῆτα μεταβάλλειν ἐπ' αὐτῷ καὶ πενθεῖν. καίτοι τοῦτο ἀβελτερίαν μὲν ἔχει μόνον, οὐδὲν δὲ δεινὸν οὐδ' ἀνήκεστον· αἱ δὲ τῶν θεῶν ὀργαὶ τίνι λόγῳ παραχρῆμα δυόμεναι, καθάπερ ἔνιοι τῶν ποταμῶν, εἶτα ὕστερον ἐπ' ἄλλους ἀναφερόμεναι πρὸς ἐσχάτας συμφορὰς ἀποτελευτῶσιν;

XIX. Fabula de iudicio post mortem instituendo.

(Platon. Gorg. p. 523 A—526 D. cf. fasc. II p. 3.)

(Exposuit Socrates neminem sapientem timere mortem, sed iniusta facinora, quippe quae etiam post mortem poenam non effugiant. — Ad § 15: Archelaus, filius Perdiccae, regis Macedonum, e serva natus, post mortem patris legitimo herede interempto rerum potitus est. sed regnum nanctus virum strenuum se praestitit; cf. Thuc. II 100.)

Ἄκουε δὴ μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσει 1
μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ
ὄντα σοι λέξω ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος
λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν
καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον.
ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ 2
ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν
μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν
τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ
εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς

τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον
3 καλοῦσιν, ἰέναι. τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ
ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν
ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευ-
τᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλού-
των καὶ οἱ ἐπιμεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες
ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷεν σφίσιν ἄνθρωποι
4 ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς· ‘Ἀλλ’ ἐγώ’,
ἔφη, ‘παύσω τοῦτο γιγνόμενον. νῦν μὲν γὰρ κακῶς
αἱ δίκαι δικάζονται. ἀμπεχόμενοι γάρ’, ἔφη, ‘οἱ κρι-
νόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν’,
ἦ δ’ ὅς, ‘ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώ-
ματά τε καλὰ καὶ γένη καὶ πλούτους, καί, ἐπειδὰν ἡ
κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρή-
σοντες ὡς δικαίως βεβιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε
τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι
δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ
5 ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ
αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὑτῶν ἀμ-
φιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν’,
ἔφη, ‘παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον·
νῦν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ
Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν. ἔπειτα γυμνοὺς
κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι.
6 καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ
τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀπο-
θανόντος ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν καὶ
καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον,
ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς
πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ,
δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα

δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευ- 7
τήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ, ἐξ ἧς
φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς
Τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς
κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρε-
σβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω,
ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς
ἀνθρώποις.'

Ταῦτ' ἔστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω 8
ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι
λογίζομαι συμβαίνειν. ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ
δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς
ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν· ἐπειδὰν δὲ δια-
λυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον
αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ
ἄνθρωπος, τό τε σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ
θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα. οἷον εἴ 9
τινος μέγα ἦν τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶν-
τος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας, καὶ
εἰ παχύ, παχὺς καὶ ἀποθανόντος, καὶ τἄλλα οὕτως·
καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης τούτου καὶ ὁ νε-
κρός. μαστιγίας αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε τῶν πλη-
γῶν ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμά-
των ζῶν, καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα
ἔχον· καὶ κατεαγότα εἴ του ἦν μέλη ἢ διεστραμμένα
ζῶντος, καὶ τεθνεῶτος ταῦτα ἔνδηλα. ἑνὶ δὲ λόγῳ, 10
οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα
καὶ τελευτήσαντος ἢ πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρό-
νον. ταὐτὸν δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν
ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ
ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως

καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγ-
11 ματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφί-
κωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ
τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας
θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ
πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος ἢ ἄλλου
ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς
12 ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν
μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστη ἡ πρᾶξις
αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ
ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ
ἄνευ ἀληθείας τεθράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς
καὶ ὕβρεως καὶ ἀκρατίας τῶν πράξεων ἀσυμμετρίας τε
καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ
ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλ-
13 λει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη. Προσ-
ήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς
τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι ἢ
παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες
πάσχοντα ἃ ἂν πάσχῃ φοβούμενοι βελτίους γίγνωνται.
εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ
θεῶν τε καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτή-
ματα ἁμάρτωσιν· ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν
γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν Ἅιδου·
14 οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ'
ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τοιαῦτα ἀδικήματα
ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται,
καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀν-
ίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες
διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φο-
βερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς

παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δε-
σμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα
καὶ νουθετήματα. ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον 15
ἔσεσθαι, εἰ ἀληθῆ λέγει Πῶλος, καὶ ἄλλον ὅστις ἂν
τοιοῦτος τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι
τούτων ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ
τὰ τῶν πόλεων πραξάντων· οὗτοι γὰρ διὰ τὴν ἐξου-
σίαν μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι.
μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας γὰρ καὶ
δυνάστας ἐκεῖνος πεποίηκε τοὺς ἐν Ἅιδου τὸν ἀεὶ χρό-
νον τιμωρουμένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν·
Θερσίτην δέ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης,
οὐδεὶς πεποίηκε μεγάλαις τιμωρίαις συνεχόμενον ὡς
ἀνίατον. ἀλλὰ γάρ, ὦ Καλλίκλεις, ἐκ τῶν δυναμένων 16
εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι· οὐ-
δὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγ-
γίγνεσθαι, καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνο-
μένων· χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου
ἄξιον ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως
διαβιῶναι. ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ
ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται
καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τὴν τοῦ δικαίως
διαχειρίζειν ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλό-
γιμος γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης
ὁ Λυσιμάχου· οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται
τῶν δυναστῶν. Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδά- 17
μανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ
αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὔθ' ὅστις οὔθ' ὧντινων, ὅτι
δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρ-
ταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος
δοκῇ εἶναι· ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσήκοντα

18 *πάσχει. ἐνίοτε δ᾽ ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ᾽ ἀληθείας, ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μέν, ἔγωγέ φημι, ὦ Καλλίκλεις, φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ ἐς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ ταῦτα καὶ ὁ Αἰακός· ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται, μόνος ἔχων χρυσοῦν σκῆπτρον, ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν*

'χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.'

19 *ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι, καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην τὴν ψυχήν· χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν καὶ ἐπειδὰν ἀποθνήσκω ἀποθνήσκειν.*